eul_wid: qnq-bl

*Αἴλιος Ἡρωδιανός* · Herodian of Alexandria

# On Paronyms

*Περὶ παρωνύμων*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Συναγωγή* Collection

3,2 850 βραχυκαταλήκτου ὁμοίως μέλανος μέλαινα. εἰ οὖν Πριαμίδου, πῶς μὴ εἰς η τὸ θηλυκόν; οὐ γὰρ καθαρὸν ἢ τὸ ρ ἔχει ὡς τὸ ῥοδιά φοβερά. πῶς καὶ εἰς ις καὶ βραχύ; πῶς δὲ καὶ τὸ νοητὸν ἔχει; Πριαμίς γὰρ οὐχ ἡ Πριαμίδου. οὐκοῦν ἀπὸ γενικῆς τοῦ πρωτοτύπου καὶ τὸ Πριαμίδης καὶ τὸ Πριαμίς καὶ τὸ Θησηΐς ἡ Θησέως θυγάτηρ. Steph. Byz. 3, 12, Mein.: δοκεῖ ἀπὸ τοῦ Ἀβάντιος εἶναι τὸ Ἀβαντιάς ὡς ἀπὸ τοῦ Ἑλικώνιος Ἑλικωνιάς, Ὀλύμπιος Ὀλυμπιάς, Δήλιος Δηλιάς. τὸ δὲ Ἀβαντίς ἀπὸ τῆς Ἄβαντος γενικῆς ὡς Ἑλικωνίς τῆς Ἑλικῶνος, Βίστονος Βιστονίς, Αὔσονος Αὐσονίς. ἴσως δὲ καὶ τὸ Ἀβαντιάς ἀπὸ τοῦ Ἀβαντίς παρήχθη ὡς ἀπὸ τοῦ Λέσβος Λεσβίς Λεσβιάς, Ἀχαΐς Ἀχαιιάς «Ἀχαιιάδων εὐπέπλων» (Ε 424. φ 160). μαρτυρεῖ δὲ τῷ προτέρῳ λόγῳ ἀπὸ τοῦ Ἀβάντιος Ἀβαντιάς τὸ Ἀβαντία θηλυκόν, ὅπερ κατὰ βαρβαρικὴν τροπὴν τοῦ β εἰς μ Ἀμαντία ἐλέχθη παρὰ Ἀντιγόνῳ ἐν Μακεδονικῇ περιηγήσει. E. M. 175, 30: Ἀφαρεύς: ὁ ἥρως «Ἀφαρῆά τε Δηΐπυρόν τε (I 83). ὁ δὲ Ἀπολλώνιος (I 151) καὶ Πίνδαρος (Nem. 10, 65) Ἀφάρης ὑποτιθέασι τὴν εὐθεῖαν. εἴρηται οὖν παρὰ τὸ φάρος τὸ παρὰ τοῖς Ἀττικοῖς συστελλόμενον καὶ ἐν παραγωγῇ Ἀφαρεύς. ὁ δὲ Ἡρωδιανός φησι τὰ τοιαῦτα τῶν ὀνομάτων παρὰ τῆς Ἄρης συγκεῖσθαι, Τυνδάρης Ἀμφιάρης καὶ Ἀμφιάραος. γέγονεν οὖν καὶ τὸ Ἀφάρης οὕτως. εἶτα παρώνυμον Ἀφαρεύς. ὁ δὲ Κράτης παρὰ τὸ ἄφαρ ἐπίρρημα. E. M. 387, 44 ἐτώσιον: ἐκ τοῦ ἔω τὸ ὑπάρχω ἐτός ὁ ἀληθής. μετὰ τοῦ στερητικοῦ α ἄετος, τὸ πληθυντικὸν ἄετοι ἀέτων ἀετώσιος καὶ ἀφαιρέσει ἐτώσιος. κανὼν γάρ ἐστιν ὁ λέγων, αἱ διὰ τοῦ ιος γινόμεναι παραγωγαὶ ἀπὸ γενικῆς τῶν πληθυντικῶν διχῶς σχηματίζονται καὶ διὰ τοῦ ς καὶ διὰ τοῦν · ἡ μὲν τῶν Ῥηγίνων διάλεκτος διὰ τοῦ ς ὡς ἐτώσιος. ἡ δὲ τῶν Αἰολέων διὰ τοῦ ν ὡς Ἑλικώνιος. Περὶ τῶν εἰς ν παρωνύμων. Arcad. 10, 24: τὰ ἀπὸ συνθέτων εἰς ος παραχθέντα κατὰ τοῦ αὐτοῦ σημαινομένου βαρύνεται ἄπειρος ἀπείρων, ἀγκύλος ἀγκύλων.

3,2 851 Theogn. 28, 16: τὰ εἰς ων παραγωγὰ ὑπὲρ δύο συλλαβὰς ἐκ πρωτοτύπου φωνῆς ἔχοντα τὴν ει δίφθογγον ταύτην φυλάττει καὶ ἐπὶ τοῦ παραγωγοῦ, Καδμεῖος Καδμείων, Βακχεῖος Βακχείων, Ἀργεῖος Ἀργείων. Theogn. 29, 22: τὰ εἰς ων παρώνυμα μὴ κοινωνοῦντα θηλυκῷ γένει κατὰ τὴν φωνὴν διὰ τοῦ ω κλίνεται, Φίλων, Ἀγάθων, Μελίτων, Νίκων. πρόσκειται «μὴ κοινωνοῦντα κτλ.» διὰ τὸ ἄπειρος ἀπείρων, ἀσχήμων, εὐσχήμων, λευχείμων, μελανείμων, χαιρήμων, p. 31, 21 κατάπυγος καταπύγων, ἔγκυμος ἐγκύμων. Theogn. 30, 22: Ἅβρων Ἅβρωνος παρώνυμον. Theogn. 32, 30: Κελάδων παρώνυμον ἀπὸ τοῦ κέλαδος; 33, 1 κόρυδος Κορύδων, κίναδος Κινάδων; 33, 18 καύσων καύσωνος παρώνυμον (sc. ἀπὸ τοῦ καῦσος); 35, 4 Τίμων Σίμων

παρώνυμα. Περὶ τῶν εἰς ρ . An. Ox. IV 329, 19: τὸ ἐτήρ παρὰ τὸ ἔτος· Σοφοκλῆς ἐτῆρας ἀμνοὺς θεοῖς ἔρεξ’ ἐπακτίοις. γράφεται καὶ εὔειρας. Περὶ τῶν εἰς ης . Choer. 47, 14: τὰ ἀπὸ τῶν εἰς η θηλυκῶν εἰς ης γινόμενα βαρύτονα μὴ ἔχοντα οὐδέτερον εἰς ες εἰς τὴν ου δίφθογγον ἔχει τὴν γενικὴν οἷον λέσχη Λέσχης, ἀράχνη ἀράχνης, κόμη ἀκειροκόμης, δίκη ἑλλανοδίκης, γυνή ὁ μισογύνης, χαίτη κυανοχαίτης, τέχνη κλυτοτέχνης, κόμη Κόμης, γύη γύης. τὸ δὲ Εὐτυχής Εὐτυχοῦς παρὰ τὸ τύχη ἐστὶν ὀξύτονον, τὸ δὲ τανυήκης τανυήκους παρὰ τὸ ἄκη ἔχει οὐδέτερον εἰς ες . Choer. 51, 9: τὰ ἀπὸ τῶν εἰς ος εἰς ης γινόμενα βαρύτονα εἴτε ἁπλᾶ εἴτε παρασύνθετα εἰς τὴν ου δίφθογγον ἔχει τὴν γενικὴν οἷον Ἄραξος Ἀράξης Ἀράξου, Λάπιθος Λαπίθης, εἴσπνηλος εἰσπνήλης, ἑπτάπους ἑπτάποδος ἑπταπόδης, εὔπατρις εὐπάτριδος εὐπατρίδης, Οἰδίπους Οἰδίποδος Οἰδιπόδης. Arcad. 27, 1: τὰ εἰς της ἀρσενικὰ παρώνυμα ὑπὲρ δύο συλλαβὰς βραχείᾳ παραληγόμενα βαρύνεται ἀγρότης, δημότης καὶ τὰ δὲ φύσει μακρᾷ παραληγόμενα κομήτης, πεδήτης, πλανήτης, ἀλήτης, ὑπηνήτης, κορυνήτης, νικήτης κτλ., πολίτης, τεμενίτης, εὐρρείτης, βαθυρρείτης, πρεσβύτης, Ἀρχύτης. Arc. 27, 17: τὰ εἰς ης κύρια ἀπὸ τῶν εἰς ος οὐδετέρων σύνθετα βαρύνεται, Δημοσθένης, Διογένης καὶ τὰ ἔχοντα η ἐν τῇ παραληγούσῃ ἀπὸ δισυλλάβου συνήθης, κακοήθης. τὰ δὲ μὴ τοιαῦτα ἐπίθετα ὀξύνεται, εὐγενής, ἀγενής, εὐμενής, εὐτυχής.

3,2 852 Arc. 27, 22: τὰ εἰς ης παρὰ τὸ ἔτος καὶ ἔργον ὀξύνεται διετής, τριετής, λεπτουργής, Ναξιουργής. Arc. 27, 24: τὰ εἰς ης ἀπὸ τῶν εἰς υς ὀξυτόνων μὲν ὀξύνεται, βριθύς ἐμβριθής, βαρύς ἀβαρής, βαρυτόνων δὲ βαρύνεται πῆχος τριπήχης, τετραπήχης. E. M. 435, 43: τὰ διὰ τοῦ ηθης σύνθετα παρώνυμα βαρύνεται οἷον ἦθος εὐήθης, συνήθης, κακοήθης, ἀληθής φιλαλήθης, παναλήθης. Περὶ τῶν εἰς ις . Epim. Cr. I 224, 31: τὰ εἰς ις παρώνυμα ὀξύνεται, δρυμός Δρυμίς, λόγος Λογίς, φορμός φορμίς, Κάδμος Καδμίς· τὸ ἄσις ἀντιπίπτει, ὑπόκειται γὰρ ἑτέρῳ κανόνι· τὰ ἐπὶ τοῦ αὐτοῦ γένους παραλαμβανόμενα καὶ ταὐτὰ σημαίνοντα ὁμοτονεῖ φήμη φῆμις, ἄση ἄσις. Arc. 28, 24: τὰ εἰς ις πατρωνυμικὰ ἢ τύπον ἔχοντα πατρωνυμικῶν ὀξύνεται Πριαμίς, Ταντανλίς, Τυνδαρίς. Arc. 29, 13: τὰ εἰς βις ὑπερδισύλλαβα παρώνυμα ὀξύνεται Νιοβίς, Λυκαμβίς, Περραιβίς. σεσημείωται τὸ κάνναβις. Arc. 31, 19: τὸ κάβαλλις ἐπιθετικὸν παρώνυμον ἀπὸ τῶν εἰς ης βαρύνεται τῶν ἄλλων εἰς αλλις ὑπὲρ δύο συλλαβὰς ὀξυνομένων. Arc. 31, 24: τὰ εἰς λις παρώνυμα τῷ ω ἢ διφθόγγῳ παραληγόμενα ὀξύνεται, Πακτωλίς, Αἰτωλίς, Ἰουλίς. Arc. 32, 27: τὰ παρώνυμα εἰς ξις ὀξύνεται ἅμαξα ἁμαξίς, πύξος πυξίς, ὄξος ὀξίς. Arc. 33, 16: τὰ εἰς ις δισύλλαβα ὑποκοριστικὰ ἢ πατρωνυμικῆς ἐννοίας ἐχόμενα ὀξύνεται, Τευκρίς, χειρίς. —Dichr. 299, 12: καρίς παρὰ τὸ κάρη. E. M. 476, 46: τὸ θοῦρις παρὰ τὸ θοῦρος γίνεται. Arc. 34, 5: τὰ εἰς ρις ὑπὲρ δύο συλλαβὰς παραληγόμενα τῷ α , εἰ εἴη ὡς ὑποκοριστικὰ ἢ πατρωνυμικά, ὀξύνεται, Μεγαρίς, βλεφαρίς, θεαρίς ἡ θεωρίς. Arc. 34, 22: τὰ εἰς σις παρώνυμα χαίρει τῇ ὀξείᾳ Χρύσης Χρυσίς, νῆσος νησίς. σεσημείωται τὸ ἄσις ὁ ῥύπος ἀπὸ τοῦ ἄση γεγονός. Arc. 35, 24: τὰ εἰς ις θηλυκὰ ἀπὸ τῶν εἰς ης ἀρσενικῶν γινόμενα πρὸ μιᾶς ἔχει τὸν τόνον ὁ κυνηγέτης ἡ κυνηγέτις, ὁ δεσπότης ἡ δεσπότις, ὁ πολίτης ἡ πολῖτις χωρὶς τῶν ἀπὸ τῆς κοίτης καὶ πωλῶ. ταῦτα γὰρ προπαροξύνεται ἄκοιτις, παράκοιτις, ἀρτόπωλις, λαχανόπωλις. τὸ Σκυθίς δὲ δισυλλαβοῦν ὀξύνεται ὡς τὸ Περσίς. Περὶ τῶν εἰς ος . Arc. 38, 14: τὸ γόαος ἐκ τοῦ γόης γέγονε. E. M. 75, 23: πολὺς ὁ τοιοῦτος χαρακτὴρ sc. in διος : παυρίδιος, νυμφίδιος Arc. 39, 19.

3,2 853 Arc. 40, 5: ὅσα ἀπὸ τῶν εἰς ξ ἢ ρ γίνεται διὰ τοῦ ι βραχέος, προπαροξύνεται, Θρηΐκιος, Κιλίκιος, Φαιάκιος, μακάριος, σωτήριος. Arc. 40, 11: τὰ διὰ τοῦ ιος ἐθνικὰ ἢ τοπικὰ προπαροξύνεται θαλάσσιος, ἐντόπιος, ἐνδάπιος. τὸ δὲ χλωριός ὀξύνεται καὶ θαλαμιός ὁ κωπηλάτης. Arc. 40, 14: τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιος προπαροξύνεται συνεσταλμένου τοῦ ι , πολέμιος, ποτάμιος, μίσθιος, ῥύθμιος, δέσμιος. Φρυγίος δὲ τὸ κύριον παροξύνεται. Arc. 42, 28: πᾶν εἰς ος καθαρὸν ὑπὲρ δύο συλλαβὰς τῇ αι διφθόγγῳ παραληγόμενον, εἰ ἀπὸ ὀξυτόνου θηλυκοῦ γένοιτο,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προπερισπᾶται, ἀρχή ἀρχαῖος, ἀλκή ἀλκαῖος, κορυφή κορυφαῖος. Il. Pr. Λ 301: τὰ ἀπὸ τῶν εἰς α ληγόντων μακρᾷ παραληγομένων παραγόμενα διὰ τοῦ αιος προπερισπᾶσθαι θέλει, μοῦσα Μουσαῖος, γενναῖος, Πισαῖος, ἑρσαῖος, Ἀσαῖος. παρὰ γὰρ τὸ αἶσα γέγονεν καὶ ἐξέστη πρότερον τὸι · οὐ μάχεται τὸ Ἥραιος προπαροξύτονον. πρὸς γὰρ ἀντιδιαστολὴν τοῦ προπερισπωμένου ἐπιθετικοῦ ἐγένετο. Theogn. 52, 22, E. M. 7, 42 et 198, 54: τὰ ἀπὸ τῶν εἰς α ἢ η ἢ εἰς ος παραγόμενα προπερισπᾶται ὥρα ὡραῖος, θύρα θυραῖος, Πέλλα Πελλαῖος, ὕλη ὑλαῖος, πύλη πυλαῖος, ἀγέλη ἀγελαῖος· τὸ δὲ Ἀγέλαιος κύριον προπαροξύνεται· δρόμος δρομαῖος. τὸ δὲ φύλαιος καὶ δείλαιος προπαροξύνονται καὶ τὸ δίκαιος δὲ καὶ βίαιος προπαροξύνονται, ἐπειδὴ τὰ ἀπὸ θηλυκῶν παραγόμενα καὶ τὸ ι ἐν τῇ ἀρχῇ ἔχοντα προπαροξύνεσθαι θέλει. Arc. 44, 3: τὰ παρώνυμα παρ’ οὐδετέρων γινόμενα ὀξύνεται, γῆρας γηραιός, κράτος κραταιός, (E. M. 539, 18) εἰ μὴ ἔχοι κτητικὴν σημασίαν ὡς τὸ κνέφας κνεφαῖος, οὖδας οὐδαῖος. Choer. Orth. 174, 27, Arc. 44, 15, Steph. Byz.: τὰ διὰ τοῦ ειος κτητικὰ προπαροξύνεται, θήρειος, μήλειος, χήνειος, κήλειος ὁ καυστικός, ἄρνειος, ἀνθρώπειος· τὰ δὲ τοπικὴν ἔννοιαν ἔχοντα προπερισπᾶται οἰκεῖος, ἀστεῖος, ἀγρεῖος. Il. Pr. Β 269, Choer. Orth. 173, 26: τὰ εἰς ειος ἐν τῇ πρώτῃ συλλαβῇ ἔχοντα τὸ α μὴ καθαρὸν ἐπιφερομένων δύο συμφώνων μὴ σημαίνοντα μέρος σωματικὸν προπερισπᾶται, ἀνδρεῖος, Ἀργεῖος, Καδμεῖος, Βακχεῖος. Il. Pr. Φ 471: τὰ ἀπὸ τῶν εἰς ος οὐδετέρων παραγόμενα διὰ τῆς ει γράφεται καὶ προπαροξύνεται, εἰ μὴ τὸ α παραλήγοι ἐν τῷ εἰς ος λήγοντι οὐδετέρῳ ἢ δύο σύμφωνα, ὧν τὸ μὲν ληκτικὸν εἴη τῆς πρώτης συλλαβῆς, τὸ δὲ ἀρκτικὸν τῆς δευτέρας οἷον ἕλος ἕλειος διὰ τῆς ει διφθόγγου ἡ παραγωγὴ καὶ προπαροξύνεται· οὐ γὰρ ἦν ἐν τῷ οὐδετέρῳ τὸ α . τέλος τέλειος, ὄρος ὄρειος, ὄνειδος ὀνείδειος. παρεφυλαξάμην δὲ τὰ δύο σύμφωνα διὰ τὸ Ἀργεῖος καὶ ἑρκεῖος, καὶ τὸ α , ἐπεὶ φιλεῖ διὰ τοῦ ι γράφεσθαι ἡ παραγωγὴ πελάγιος, ἅγιος, Θάλπιος. Steph. Byz. 325, 1 coll. Arc. 51, 8; 71, 9; 67, 15; 65, 1 et

3,2 854 Il. Pr. Β 847 et 672: ἀπὸ τῆς Ἴβηρος γενικῆς Ἴβηρος εὐθεῖα ὡς τῆς φύλακος ὁ Φύλακος «αὐτὸς Ἴβηρος τραγοπώγων» (Com. ed. Mein. II 78) ἐν Μαλθακοῖς Κρατίνου. καὶ Ἀπολλώνιος μὲν ἐν τοῖς παρωνύμοις φησίν· «ἀπὸ γενικῶν εὐθεῖαι παράγονται, τῶν μὲν ὑπὲρ δύο συλλαβὰς ὁμοίως τῇ εὐθείᾳ κατὰ τὸν τόνον προπαροξυνόμεναι καὶ ἢ ἐν ἁπλῷ σχήματι ἢ ἐν συνθέτῳ· ἁπλοῦν μὲν οὖν μάρτυρ μάρτυρος ὁ μάρτυρος, Χάροψ Χάροπος ὁ Χάροπος «Χαρόποιό τ’ ἄνακτος» (Β 672), Τροίζην Τροίζηνος ὁ Τροίζηνος «υἱὸς Τροιζήνοιο» (Β 847), Ἴβηρ Ἴβηρος ὁ Ἴβηρος». τὸ αὐτὸ καὶ Ἅβρων ἐν παρωνύμοις φησίν· ἀλλὰ τὰ παρὰ γενικῆς ἀναπεμφθέντα κατὰ τὸν τόνον συνομοιοῦται τῷ χαρακτῆρι τῆς εὐθείας. τὸ γὰρ φυλακός προσηγορικὸν ὀξύνεται τῷ χαρακτῆρι τῶν εἰς ακος ὑπερδισυλλάβων προσηγορικῶν, τὸ δὲ μάρτυρος ἠκολούθησε τῷ ἄργυρος, τὸ δὲ Ἴβηρος τῷ Ὅμηρος, σίδηρος, τὸ Χάροπος τῷ Ἄροπος, Ἀστέροπος. τὸ δὲ Τροίζηνος ἀπὸ Τροιζήν ὀξυτόνου εἰς ἰδιότητα βαρύνεται ὡς καὶ τὸ Φύλακος κύριον. Il. Pr. Ο 705 ὠκυάλου: ἐψίλωσαν τὸ α παραγωγὴν δεξάμενοι καὶ οὐ σύνθεσιν· καὶ οὕτως ἡ παράδοσις ἐπείσθη. καὶ τάχα ἐπεὶ μηδὲν ἄλλο ἢ τὸ ὠκὺ ἐκ τῆς λέξεως σημαίνεται. ἡ δὲ ἁλός γενικὴ ἐν τῇ συνθέσει ἐπὶ μὲν κυρίων ψιλὸν ἀποφέρεται τὸ πνεῦμα, Εὐρύαλος, Ἀμφίαλος, Ἀστύαλος· ἐπὶ δὲ ἐπιθετικῶν τὸ ἴδιον τηρεῖ πνεῦμα, ἀμφίἁλος, ἀγχίἁλος, ὕφαλος, ὥστε καὶ κατὰ τοῦτο ἐλέγχεται ψιλούμενον. Arc. 57, 21: τὸ ἕωλος ὁ χθεσινὸς προπαροξύνεται ὡς παρώνυμον καὶ τὴν τρίτην βραχεῖαν ἔχει. Il. Pr. Ω 228: τὸ φωριαμός τὸ κιβώτιον ἢ παρὰ τὸ τοὺς φῶρας ἀπείργειν ἢ ἀπὸ τοῦ τὸ φάρη φυλάσσειν παρῆκται. ἔστι φωραμός καὶ πλεονασμῷ τοῦ ι φωριαμός. E. M. 261, 40: δεῖμος ὁ φόβος· ὥσπερ ἀπὸ τοῦ ἄνθος γίνεται ἄνθιμος καὶ ἀπὸ τοῦ κῦδος κύδιμος, οὕτω καὶ ἀπὸ τοῦ δέος δέϊμος καὶ δεῖμος ὁ δέος ἐμποιῶν, ὄνομα πρέπον Ἄρεος παιδί. Ὅμηρος «Δεῖμός τε Φόβος τε» (Λ 37). E. Orion. 89, 4: ὄρχαμος παρὰ τὴν ἀρχὴν ἄρχαμος καὶ ὄρχαμος. Arcad. 65, 2, Theogn. 67, Il. Pr. Β 847 et St. B. Γερηνία et p. 203, 22 et 325, 6: τὰ εἰς ηνος παρώνυμα κατὰ τροπὴν γένους θηλυκοῦ εἰς τὴν εἰς ος κατάληξιν γενόμενα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προπαροξύνεται, Ὑπήνη Ὕπηνος, Μυκήνη Μύκηνος, Κυλλήνη Κύλληνος καὶ τὰ παρὰ γενικῆς ἀναπεμφθέντα, Τροίζηνος «υἱὸς Τροιζήνοιο». ἀπὸ γὰρ γενικῆς τῆς Τροιζῆνος ἐγένετο εὐθεῖα ἔθει ποιητικῷ. οὕτω καὶ ὁ Γέρην τοῦ Γέρηνος ὁ Γέρηνος. Ἡσίοδος ἐν α′ καταλόγων «κτεῖνε δὲ Νηλῆος ταλασίφρονος υἱέας ἐσθλοὺς ἕνδεκα, δωδέκατος δὲ Γερήνιος ἱππότα Νέστωρ ξεῖνος ἐὼν ἐτύχησε παρ’ ἱπποδάμοισι Γερήνοις». καὶ αὖθις «Νέστωρ οἶος ἄλυξεν ἐν ἀνθεμόεντι Γερήνῳ». τὰ δὲ παρὰ Συρακουσίοις παραγόμενα καθ’ ὁμοιωματικὴν σημασίαν προπερισπᾶται τοσσῆνος, τοιῆνος. E. M. 793, 45: τὰ εἰς ινος κύρια ἢ ἐθνικὰ ἢ προσηγορικὰ εἰ ἀπὸ
3,2 855 ὀνόματος παραχθῶσιν, ἢ ἀπὸ εὐθείας ἢ γενικῆς παράγονται, φίλος Φιλῖνος, ἀγαθός Ἀγαθῖνος, πάλλακος Παλλακῖνος. Arc. 65, 24: τὰ διὰ τοῦ εινος ὑπερδισύλλαβα ἁπλᾶ παρώνυμα ὀξύνεται, φαεινός, σκοτεινός, ἀλγεινός, βορεινός, ταπεινός. Arc. 66, 4: τὸ μόσυνος ἀπὸ γενικῆς μετήχθη. E. Orion. 167, 15: παρὰ τὸ ψύχος ψυχρός. —E. Or. 57, 29: παρὰ τὸ ἔχθος ἐχθηρός καὶ συγκοπῇ ἐχθρός ἢ ὡς κῦδος κυδρός. Arc. 76, 14: τὸ γλωσσός ὁ λάλος παρὰ τὸ γλῶσσα γέγονε παρωνύμως. Arc. 77, 5: τὸ Μάρπησσος βαρύνεται ὡς παρώνυμον ἀπὸ τοῦ Μάρπησσα. Arc. 77, 14: τὰ εἰς σος ὑπὲρ δύο συλλαβὰς ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ι ἐκτεταμένον λήγουσαν ὀξύνεται· εἰ δέ τι βεβαρυτόνηται, τοῦτο παρώνυμον ὤφθη ἀπὸ θηλυκοῦ. Ἄρνισος Ἄρνισα, Λάρισος Λάρισα. Arc. 80, 20: τὸ πλατάνιστος ἀπὸ τοῦ πλάτανος βαρύνεται. Arc. 81, 17: τὰ διὰ τοῦ ετος τρισύλλαβα προσηγορικὰ ἢ ἐπιθετικὰ παρωνύμως τετυπωμένα προπαροξύνεται ἄσχετος, ἄσπετος, γνύπετος ὁ χαῦνος. E. M. 37, 31: ὡς εὐρύς Εὔρυτος, οὕτως αἰπύς Αἴπυτος coll. St. B. s. Ἐρέτρια et Arc. 82, 19. Περὶ τῶν εἰς ευς . Il. Pr. N 246: ὅτι δεῖ κατὰ διάλυσιν ἀναγινώσκειν «θεράπων ἐΰς» καὶ οὐχ ὑφ’ ἓν ὡς Ἐτεωνεύς παρωνύμῳ τύπῳ, διδαχθησόμεθα ἐξ αὐτῆς τῆς φωνῆς. ἐγίνετο γὰρ ἂν θεραποντεύς. ἀπὸ γὰρ γενικῶν φιλεῖ ὁ τοιοῦτος τύπος παράγεσθαι, εἴγε καὶ παρὰ τὴν λέοντος ὁ λεοντεύς, οὐχὶ λεωνεύς, παρά τε τὴν Αἰθίοπος Αἰθιοπεύς. Steph. Byz. 23, 5: ἔστιν τὸ ἀγυιεύς ἀπὸ τοῦ ἀγυιά, ὡς Τρύφων φησὶν ἐν παρωνύμοις «πᾶν εἰς α θηλυκὸν ἰσοσύλλαβον ἔχει τῇ εὐθείᾳ καὶ τῇ γενικῇ τὸ παρώνυμον, Μοψοπιά Μοψοπιεύς, Ἐρετριεύς, Φωκαιεύς, Θεσπιεύς». Περὶ τῶν εἰς ους . St. B. s. Σχοινοῦς Ἁγνοῦς Τρεμιθοῦς: Σχοινοῦς Ἀρκαδίας χωρίον· ἑλώδης ὢν ὁ τόπος ἀπὸ τῶν ἐν αὐτῷ σχοίνων τὴν προσηγορίαν εἴληφεν. ἐπιπολάζει τοῦτο τὸ εἶδος παρ’ Ἕλλησιν ἀπὸ τῶν ἐν τόποις πλεοναζόντων φυτῶν οἷον Σκιλλοῦς πόλις Τριφυλιακή, Τρεμιθοῦς κώμη Κύπρου ἀπὸ τῶν περὶ τὸν τόπον πεφυκυιῶν τερεβίνθων, ἃς Κύπριοι τρεμίθους καλοῦσι, Δαφνοῦς, Σελινοῦς, Φοινικοῦς, Θριοῦς, Μυρικοῦς, Οἰνοῦς, Πυξοῦς, Ῥιζοῦς, Ἀνθεμοῦς. ὁμοίως καὶ τὸ Πιτυώδης, Ἐρικώδης, Κυπάρισσος, Θρύον, Ἐλαία. καὶ τῶν Ἀθηναίων δήμων τινὲς ἀπὸ τῶν ἐν αὐτοῖς φυομένων Ῥαμνοῦς, Φηγοῦς, Μυρρινοῦς, Μαραθοῦς, Ἁγνοῦς.

3,2 856 (1t) Περὶ τῶν εἰς α . Arc. 95, 18: τὰ εἰς εια ἀπὸ τῶν εἰς ευς προπαροξύνεται, βασιλεύς βασίλεια, ἱερεύς ἱέρεια. Περὶ ποσότητος Cr. II 300, 8 coll. Theogn. 99: τὰ διὰ τοῦ εια παρώνυμα κατὰ τοῦ αὐτοῦ σημαινομένου παρηγμένα θηλυκὰ προπαροξύνεται, Πηνελόπη Πηνελόπεια, χαλκοβαρής χαλκοβάρεια, ἠριγενής ἠριγένεια, Τριτογένεια, ἱπποδάσεια, ἀμφιδάσεια. Arc. 95, 25: τὰ εἰς να συνεσταλμένον ἔχοντα τὸ α ἀπὸ τῆς γενικῆς τοῦ ἀρσενικοῦ σχηματιζόμενα προπαροξύνεται, μέλανος μέλαινα, τάλανος τάλαινα, Λάκων Λάκαινα, δράκων δράκαινα. Arc. 96, 1: ἔτι τὰ εἰς ρα βραχὺ παρεσχηματισμένα, σωτήρ σώτειρα, μάκαρ μάκαιρα. Arc. 96, 3: τὰ εἰς σα ὑπερδισύλλαβα παρεσχηματισμένα προπαροξύνεται, εἰ μὴ κατὰ συναλοιφὴν εἴη ἀπὸ ὀξυτόνων εἰς ης δαφνήεσσα, φωνήεσσα, τὸ δὲ τεχνῆσσα ἀπὸ τοῦ τεχνήεσσα. καὶ τὰ ἀπὸ ὀξυτόνων εἰς ησσα χερνής χερνῆσσα. Theogn. 103, 14, Arc. 98, 6: τὰ διὰ τοῦ αια παρώνυμα προπαροξύνεται, σεληναία, ἁμαξαία, θυραία, εὐναία, γαληναία κτλ. Theogn. 109, 28: σοφός σοφία, κακός κακία, μωρός μωρία—περὶ ποσότητος p. 304 φιλόσοφος φιλοσοφία, κακουργός κακουργία κτλ., βοηθός βοήθεια, εὔερος εὐέρεια. Choer. Orth. 269, 23: ἄλουτος ἀλουσία, ἀθάνατος ἀθανασία.

Choer. Orth. 182, 10: αὐθάδης αὐθαδία αὐθάδεια. —179, 9: ἀληθής ἀλήθεια, εὐγένεια, εὐπάθεια, ἀμαθία. St. B.: Καυκώνεια χώρα ἀπὸ τῆς Καύκωνος γενικῆς ὡς Μαρώνεια. Arcad. 100, 8: τὰ εἰς ια παραγόμενα ἀπὸ τῶν εἰς ξ ληγόντων βαρύνεται, Φρυγία, Βεβρυκία. σεσημείωται τὸ ἀνθρακιά ὀξυνόμενον. Περὶ τῶν εἰς η . E. M. 87, 35: Ἀμυμώνη ἡ θυγάτηρ Δαναοῦ ἀπὸ τῆς ἀμύμονος γενικῆς. πολλὰ γὰρ τῶν θηλυκῶν ὀνομάτων εἰς η λήγοντα γίνεται ἀπὸ τῶν εἰς ος γενικῶν τῶν ἑνικῶν οἷον πέρατος περάτη, κάλυκος Καλύκη, ἅρπαγος ἁρπάγη (βαρύνεται ἐπὶ τοῦ ἐργαλείου, τὸ δὲ ἁρπαγή ὀξύνεται ἀπὸ τοῦ ἁρπάζω Arcad. 102, 7), σώφρονος Σωφρόνη, χιόνος Χιόνη ὄνομα ἡρωΐδος. οὕτω καὶ ἀμύμονος Ἀμυμόνη καὶ κατὰ ἔκτασιν Ἀμυμώνη. Arc. 102, 9: τὰ εἰς η παρώνυμα βαρύνεται ἀμφίρυτος ἀμφιρύτη, δορύκτητος δορυκτήτη, ἀμφίλυκος ἀμφιλύκη.

3,2 857 Arc. 104, 11: τὰ εἰς βη ἰαμβικὰ παρώνυμα βαρύνεται βλάβη (sc. a βλάβος). Arc. 104, 23: τὰ εἰς γη ἰαμβικὰ παρώνυμα ὄντα βαρύνεται, πάγη, τρύγη, στέγη. Eustath. ad Dionys. 566: τὸ παταγή κοινότερον μὲν ὀξύνεται ὡς τὸ ἀλαλαγή, ὁ δὲ Ἡρωδιανὸς βαρύνει αὐτό, λέγων ὅτι οὐκ ἐκ τοῦ πατάσσω γίνεται, ὠξύνετο γὰρ ἂν ὡς τὸ ἀλαλαγή, ἀλλ' ἐκ τοῦ πάταγος, οὗ τὸ θηλυκὸν πατάγη. E. M. 678, 39: τὰ εἰς ος δισύλλαβα τῷ ο παραληγόμενα ποιοῦντα θηλυκὰ ὀξύτονα αὐτὰ ποιοῦσιν οἷον στρόφος στροφή, νόμος νομή, ῥόος ῥοή, χόλος χολή, πόθος ποθή. Arc. 106, 17: κρόκη βαρύνεται ἀπὸ τοῦ κροκός. Arc. 110, 11: τὸ κόμη παρώνυμον παρὰ τὸ κόσμος κόσμη καὶ ἀποβολῇ τοῦ ς κόμη βαρύνεται. Theogn. 112, 13: γέγονε τὸ εὐνή ἀπὸ τοῦ εἷς ἑνός ἑνή καὶ εὐνή ψιλουμένης τῆς ευ διφθόγγου, ἐπεὶ τὸ υ πλεονάζον ψιλοῖ τὰ πρὸ ἑαυτοῦ φωνήεντα, ἕκηλος εὔκηλος, ἕαδε εὔαδε. Arcad. 112, 10: τὰ εἰς ονη ὑπερδισύλλαβα παρώνυμα κύρια βαρύνεται, Ἀντιγόνη, Ἠριγόνη. St. B. Ἡγεμόνη ἀπὸ τῆς ἡγεμόνος γενικῆς. Il. Pr. N 29: τὰ διὰ τοῦ συνη θηλυκὰ εὑρέθη οὐκ ἐπιθετικῶς κατά τινος θηλείας, κατηγορικὰ δὲ πράγματος. οὐ γὰρ ἀγαθοφροσύνη γυνή. Ep. Hom. 291, 14 coll. Arc. 115, 6: σκάφη τὸ πλοῖον βαρύνεται παρώνυμον ὂν ἀπὸ τοῦ σκάφος ὡς κάρφη ἀπὸ τοῦ κάρφος. St. B.: παρὰ τὸ Κρής Κρητός Κρήτη ὡς Θρᾴκη καὶ Χιτώνη καὶ εὐφρόνη. Περὶ τῶν εἰς ον . E. M. 451, 45: τὰ ἀπὸ τῶν εἰς ευς διὰ τοῦ ειον γινόμενα μονογενῆ προπερισπᾶται βαλανεῖον, βαφεῖον πλὴν τοῦ Θησεύς Θήσειον καὶ τὸ Φύτειον πόλις ἀπὸ Φυτέως τοῦ κτίσαντος αὐτήν. E. M. 230, 25: τὰ ἀπὸ τῶν εἰς ος δισυλλάβων οὐδετέρων διὰ τοῦ ειον γινόμενα οὐδέτερα μόνα διὰ τῆς ει διφθόγγου γράφεται οἷον δάνος δάνειον, γένος γένειον, βρένθος βρένθειον. Περὶ πατρωνυμικῶν. Τὰ εἰς δης πατρωνυμικὰ ἢ τῷ ι παραλήγεται μόνῳ ἢ καὶ ἐν διφθόγγῳ ἢ τῷ α . εἰ μὲν οὖν ἀπὸ τῶν εἰς ος γενικῶν γένηται ἡ πα-

3,2 858 τρωνυμία, τῷ ι μόνῳ παραλήγει ἐν βραχείᾳ, ὁποίας ἂν εἴη καταλήξεως, χωρὶς τῶν ἀπὸ τῶν εἰς ευς καὶ ἀπὸ τῶν εἰς ης οἷον Ἀγαμέμνονος Ἀγαμεμνονίδης, Νέστορος Νεστορίδης, Βίαντος Βιαντίδης. τὸ γὰρ Βιαντιάδης πλεονασμῷ τοῦ α . καὶ παρὰ τὴν Δευκαλίωνος γενικὴν καὶ Ἀνθεμίωνος, ὤφειλε Δευκαλιωνίδης καὶ Ἀνθεμιωνίδης. ἀλλὰ συγκοπὴν πέπονθε ἐν τῷ Δευκαλίδης καὶ Ἀνθεμίδης. ἢ ἀπὸ τοῦ Δεύκαλος Δευκαλίδης καὶ ἀπὸ τοῦ Ἄνθεμος Ἀνθεμίδης ὡς Κρόνος Κρονίδης Ὕλλος Ὑλλίδης. καὶ τὸ Χαλκωδοντιάδης καὶ Τελαμωνιάδης πλεονασμὸν ἔχει τοῦ α . Ὁμοίως δὲ καὶ ἀπὸ τῆς εἰς ους γενικῆς διὰ τοῦ ειδης γίνεται ἡ παραγωγὴ οἷον Ἡρακλῆς Ἡρακλεΐδης Ἡρακλείδης καὶ ἀπὸ τῶν εἰς ευς εὐθειῶν διὰ τοῦ ειδης οἷον Πηλεύς Πηλεΐδης Πηλείδης. ἐν τούτοις γὰρ γίνεται ἡ συναίρεσις εἰς τὴν ει δίφθογγον, ἐπείπερ ἀνεφάνη τὸ ε ἐν τῇ γενικῇ τῶν πρωτοτύπων. Εἰ δὲ ἀπὸ τῶν εἰς ος εὐθειῶν ἐστιν, εἰ μὲν καθαρῶν ὄντων, διὰ τοῦ α ἐκφέρεται, Ἥλιος Ἡλιάδης, Θέσπιος Θεσπιάδης. τὸ Πάνθοος Πανθοΐδης καὶ Πανθοίδης ἡμάρτηται. εἰ δὲ μὴ καθαρῶν, διὰ τοῦ ι , Ὕλλος Ὑλλίδης, Κόδρος Κοδρίδης. Εἰ δὲ ἀπὸ τῶν εἰς ας ἢ εἰς ης , ὧν ἡ γενικὴ εἰς ου , διὰ τοῦ αδης ποιεῖ τὸ πατρωνυμικόν, Βορέας Βορέου Βορεάδης, Ἱππότης Ἱππότου Ἱπποτάδης. τὸ δὲ Δημάδης ἐκ τοῦ Δημεάδης ἐστίν. Τὰ εἰς ων πατρωνυμικὰ τὴν παραλήγουσαν τὴν αὐτὴν ἔχει τοῖς εἰς δης πατρωνυμικοῖς οἷον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πριαμίδης Πριαμίων, Κρονίδης Κρονίων, Ἀτρείδης Ἀτρείων, Πηλείδης Πηλείων, Ἡρακλείδης Ἡρακλείων, Χαρικλείδης Χαρικλείων. οὗτος δὲ ὁ εἰς ων τύπος Ἰωνικός. Τὰ διὰ τοῦ αδιος Αἰολικά. εὔθετος δὲ ὁ διὰ τοῦ αδιος τύπος Αἰολεῦσι καὶ πρὸς τόνον καὶ πρὸς χρόνον· καὶ γὰρ πρὸς τῷ συστέλλεσθαι καὶ προπαροξύνεσθαι, ὅπερ ἐκεῖνοι φιλοῦσιν. Ὑρράδιος δέ ἐστιν ὁ τοῦ Ὕρρα παῖς. Ὕρρας δὲ Μιτυληναίων τύραννος, οὗ υἱὸς Πιττακὸς εἷς τῶν ἑπτὰ φιλοσόφων. Περιστεριδεύς ὁ υἱὸς τῆς περιστερᾶς. Περὶ ὑποκοριστικῶν. Νενόηται τὸ ὑποκοριστικὸν ἢ διὰ παιδιὰν ἢ διὰ κολακείαν ἢ διὰ τὸ πρέπον ὡς παρ' Ἀλκμᾶνι εὕρομεν τὰς παρθένους ὑποκοριστικοῖ

3,2 859 χρωμένας. πρέπον γὰρ τοῦτο παρθένοις. εἴρηται δὲ ὑποκοριστικὸν παρὰ τοὺς κόρους ἤγουν τοὺς μικροὺς νέους ἢ τὰς κόρας. τούτους γὰρ ὑποθωπεύοντες τοιούτοις κεχρήμεθα ὀνόμασι ὡς παρὰ Μενάνδρῳ νηττάριον ἢ ὅταν τὸν Πρίαμον Πριαμύλλιον εἴπωμεν καὶ τὸ μικρὸν παιδίον παιδάριον. Τύπους δὲ ἔχει ἡ φωνὴ τῶν ὑποκοριστικῶν διαφόρους. Ἔστι γὰρ ὑποκοριστικὰ εἰς ων οἷον Βακχυλίδης Βάκχων, Σιμωνίδης Σίμων, Σικελίδης Σίκων, Λακεδαιμόνιος Λάκων, Μιτυληναῖος Μίτων, πίθηκος πίθων, δραπέτης δράπων, Κάλλων. Καὶ εἰς εων ὀξύτονα λυμεών, ἀπατεών. Καὶ εἰς ιων βαρύτονα Ἡφαιστίων, Ξενίων, Μοσχίων, Ἠμαθίων, Μελανίων, Πορφυρίων, Τυραννίων. οὕτω καὶ Ἠετίων ὁ ἥρως ὁ πατὴρ Ἀνδρομάχης· παρὰ τὸ ἀετός Ἀετίων καὶ Ἰωνικῶς Ἠετίων, Ἁρπαλίων ὄνομα κύριον παρ' Ὁμήρῳ· παρὰ τὸ ἁρπάζω ἅρπαλος ὡς ἴξω ἴξαλος καὶ ὡς Ἥφαιστος Ἡφαιστίων, οὕτως Ἅρπαλος Ἁρπαλίων. Γοργυθίων παρὰ τὸ γοργός Γόργυθος καὶ Γοργυθίων. Ἔστι δὲ καὶ εἰς ας ὑποκοριστικὰ περισπώμενα, Θευδᾶς ὁ Θεόδωρος, Μητρᾶς ὁ Μητρόδωρος, Ζηνᾶς, Πυθᾶς. Καὶ εἰς ις βαρύτονα ὡς Παρθένιος Πάρθις, Χαλδαῖος Χάλδις, λάσταυρος λάστρις, Ἀμφιάραος Ἄμφις, ἀστράγαλος ἄστρις καὶ Ἰφιάνασσα Ἶφις. Ἔτι καὶ εἰς ισκος παροξύτονα ὡς γραμματίσκος ὁ γραμματεύς καὶ πυργίσκος ὁ πύργος, σατυρίσκος, νεανίσκος, παιδίσκος. Καὶ εἰς υλλος Ἡρακλῆς Ἥρυλλος, Θρασυκλῆς Θράσυλλος, Βαθυκλῆς Βάθυλλος ὄνομα κύριον ὁ ἐρώμενος Ἀνακρέοντος, Ἀριστοκλῆς Ἀρίστυλλος. Καὶ εἰς ινος προπερισπώμενα οἷον Φιλῖνος. Ἔστι καὶ εἰς υς περισπώμενα, ἃ ἔχει ὑποκοριστικὴν ἔννοιαν οἷον ἀπφῦς, ὅπερ δοκεῖ παρὰ τὸ ἀπφάς παρωνομάσθαι. ἔστι δὲ καὶ Διονῦς παρὰ τοῖς κωμικοῖς ἐπὶ τοῦ ἐκλύτου τασσόμενον, παρηγμένον ἀπὸ τοῦ Διονύσου. Τῶν δὲ θηλυκῶν τύποι τρεῖς ὁ εἰς ω Ὑψιπύλη Ὑψώ, Εἰδοθέα Εἰδώ, κερδαλέα κερδώ ἡ ἀλώπηξ, Τιτανίς Τιτώ. Καὶ ὁ εἰς ις θεραπαινίς, ἑταιρίς, λυρίς, φωνίς, βλεφαρίς, κιστίς, φυλλίς παρὰ τὸ φύλλον· ὀξύνεται δέ. τὸ δὲ Ἶφις ἡ Ἰφιάνασσα καὶ ὄλπις ἡ ὄλπη βαρύνεται.

3,2 860 Καὶ ὁ εἰς ισκη λεκανίσκη ἡ λεκάνη, παιδίσκη ἡ παῖς. Τὰ διὰ τοῦ ιον τριβράχεα ὑποκοριστικὰ προπαροξύνεται κτένιον, πτύχιον, πόδιον, θρόνιον. εἰ μέντοι ἡ πρώτη τούτων μακρὰ ὑπάρχοι, ὑπεσταλμένων τῶν διὰ τοῦ διον παρηγμένων, παροξύνεται κλειδίον, παιδίον, δᾳδίον. οὐ γὰρ διὰ τοῦ διον , ἀλλὰ διὰ τοῦ ιον . τὸ γὰρ δ τοῦ πρωτοτύπου ἐστίν. ἔτι σφηκίον, χαρτίον, ὠτίον. τὰ δὲ διὰ τοῦ διον ἀπὸ παραγωγῆς ἔχοντα τὸ δ προπαροξύνεται μύδιον, κῴδιον, βοΐδιον, βιβλίδιον. Περὶ περιεκτικῶν. Τῶν περιεκτικῶν εἰς ων ὀξύτονος ἡ κατάληξις, κροκών, πευκών, χαλκών, χαρακών, ἀνθρακών, φαρμακών, γυναικών, Ἑλικών, Μαραθών, αὐλών, μυλών, ἀμπελών, καμηλών, καλαμών, πλαταμών, κεραμών, δαφνών, πλατανών, ξενών, ἱππών, πεπών, ἀντρών, λουτρών, ἀνδρών, οἰρών, σφαιρών, προθυρών, ἀχυρών, κισσών, κοιτών, ἱστών, προβατών, ἀγών. Τὸ πτερύξ Ἀρίσταρχος ὀξύνει διὰ τὸ περιεκτικῆς ἐννοίας εἶναι. Τὸ θησαυρός ὡς περιεκτικὸν ὀξύνεται. Τὸ ἀχυρός ὁ ἀχυρών παρὰ Ἀττικοῖς ὀξύνεται ὡς περιεκτικόν. Τὸ ῥοδωνιά καὶ ἰωνιά περιεκτικὴν τοπικὴν ἔννοιαν δηλοῖ. καὶ τὸ Χελιδονιαί ὡς πυρκαϊαί. Περὶ κτητικῶν ὀνομάτων. Τύποι τῶν κτητικῶν εἰσι δύο ὅ τε εἰς κος καὶ ὁ εἰς ος ὡς ἀνθρώπειος, ἄρνειος, Ἀριστάρχειος, Πλατωνικός, Δημοσθενικός. παραλήξεις δὲ τῶν εἰς κος αὗταί εἰσι· ἢ γὰρ τῷ ι παραλήγεται ὡς τὸ Ἑλληνικός, Ῥωμαικός, Γαλατικός, Ἰταλικός,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πυθαγορικός, Αἰγινητικός ὁ τοῦ Αἰγινήτου φόρτος καὶ δοῦλος, ἢ τῷ α ὡς τὸ Ῥοδιακός, Δηλιακός, Φρυγιακός, Ἰλιακός, ἢ τῷ υ ὡς τὸ Λιβυκός, ἁλυκός, θηλυκός, ἢ τῇ ει διφθόγγῳ, Κεραμεικός, βοεικός, δαρεικός καὶ Δεκελεικός. τῶν δὲ εἰς ος καθαρὸν αὗται· ἢ τῇ ει διφθόγγῳ παραλήγεται ὡς τὸ Ὁμήρειος, Ἑκτόρειος, λεόντειος, δρακόντειος, Ἀνακρεόντειος, Λαομεδόντειος, Ξενοφώντειος, Δημοφώντειος, Θεώνειος, Τρυφώνειος, ἢ τῷ ι ὡς Παφλαγόνιος, Καλυδώνιος, ἢ τῇ αι διφθόγγῳ ὡς Αἰγιναῖος ὁ ἔποικος ἢ κέ-

3,2 861 ραμος ἢ ὀβολὸς ἢ ἄλλο τι σκεῦος ἀπὸ Αἰγίνης καὶ τὸ θηλυκὸν Αἰγιναία· λέγεται καὶ γυνὴ Αἰγιναία ὡς Δείναρχος ἐν τῷ κατὰ Πυθέου ξενίας· κηπαῖος, Νειλαῖος, ἢ τῇ ῳ διφθόγγῳ ὡς πατρῷος, ἡρῷος. τὰ δὲ εἰς εος κτητικὰ Ἰωνικῶς ἐνδείᾳ τοῦ ι γίνεται, τέλεος, κήλεος, δαιδάλεος, κονισάλεος, Ἀγαμεμνόνεος, Ἑκτόρεος, Νεστόρεος, χάλκεος, χρύσεος. Ἰστέον μέντοι ὅτι τὸ κτητικὸν ἐπὶ τῶν σωματικῶν λαμβανόμενον καὶ ἐπὶ τεθνηκότων θέλει λαμβάνεσθαι οἷον βοεία κεφαλή ἡ τοῦ τεθνηκότος βοός, οὐ γὰρ ἂν ἐπὶ ζῶντος εἴποι τις τοῦτο· διὸ καὶ μέμφονται τὸν Ζηνόδοτον, ἐπειδὴ τὸ «ἀρνέων ἐκ κεφαλέων» (Γ 273) κτητικὸν ἔλεγε, καὶ τὸν Καλλίμαχον «χεὶρ ἡ Πολυδευκείη» καὶ «σφυρὸν Ἰφίκλειον» ὅτι ἐπὶ ζώντων ἐχρήσατο κτητικῷ ἐπὶ σωματικοῦ μέρους. περὶ οὗ φαμεν ὅτι περιφράσει ἐχρήσατο ὥσπερ τὸ «βίη Ἡρακληείη». Περὶ ἐθνικῶν. Steph. Byzant. s. Αἱμονία: Ἡρωδιανός φησιν, ὅτι τοῖς συνοικισταῖς συνεχῶς ὁμοφωνεῖ τὰ ἐθνικὰ δηλονότι καὶ γραφῇ καὶ τόνῳ. τὸ Τευκρός ὡς τριγενὲς ὠξύνθη. Αἵμων κύριον καὶ ἐθνικὸν ὡς Αὔσων καὶ Ἀρκάς καὶ Μαίων καὶ Ἴων. Κίλιξ τὸ κύριον καὶ τὸ ἐθνικόν, Φρύξ, Ἀχαιός καὶ τὰ ὅμοια (Βερεκύντης, Βισάλτης, Θυνός, Θετταλός, Ἰταλός, Ἴθακος, Μάγνης, Μακεδών, Μῆδος, Πανοπεύς, Πελασγός, Σικελός, Σουματεύς, Τρώς, Δαναός, Φοῖνιξ). — εὑρίσκεται καὶ πόλεσιν ὁμοφωνοῦντα τὰ τῶν κτιστῶν ὀνόματα· Καμικός καὶ ὁ κτιστὴς καὶ ἡ νῆσος, ὁμοίως Τροιζήν, Κολοφών, Κόρινθος, Κῶς, Σικυών, Κύρνος, Λέσβος. ἔσθ’ ὅτε καὶ ἐπὶ τῶν τριῶν εὑρίσκεται ἓν ὄνομα, κτιστοῦ, πόλεως καὶ ἔθνους ὡς τὸ Δάρδανος (cf. Φανοτεύς· πόλις Φωκίδος, οἱ πολῖται Φανοτεῖς, ὡς Δελφοί καὶ Θούριοι τῷ οἰκιστῇ παραπλησίως, — Ἀμφίδολοι πόλις τῆς Τριφυλίας καὶ οἱ πολῖται ὁμοίως ὡς Θαύμακοι καὶ Λεοντῖνοι, Γελωνός πόλις Σαρματίας ἀπὸ Γελωνοῦ τοῦ Ἡρακλέους· ὁ οἰκήτωρ ὁμοφώνως, Γόμφοι, Δενθάλιοι, Δίφροι, Ἐπιλευκάδιοι, Ἐρευάτης, Ἐρινιάτης κώμη Μεγαρίδος· ὁ οἰκήτωρ Ἐρινιάτης διὰ τὸ προκατειληφός, Ἐρυθῖνοι, Ἐταιεῖς, Καφηρεύς, Κύρτωνες, Λαμητῖνοι, Λοκροί, Ὀδυσσεῖς, Πατριαργάδαι, Πεδιεῖς, Περραιβός, Πολήσιοι, Σαγγάριος ποταμὸς τῆς κάτω Φρυγίας· τὸ ἐθνικὸν Σαγγάριος· προὔφθη γὰρ ὁ τύπος τοῦ πρωτοτύπου καταληφθείς, Σηκοανός πόλις Μασσαλιωτῶν· ἀφ’ οὗ τὸ ἐθνικὸν Σηκοανοί ὡς Ἀρτεμίδωρος ἐν πρώτῃ, Σκάροι, Τάβιοι πόλις Ἰταλίας· τὸ ἐθνικὸν ὁμοίως Τάβιοι διὰ τὴν πρόληψιν τοῦ ἐν τῷ πρωτοτύπῳ ἐθνικοῦ χαρακτῆρος, Τιταρήσιος, Φωρμανοί, Ψυκτήριος τόπος ἐν Θρᾴκῃ· τὸ ἐθνικὸν ὁμωνύμως διὰ τὸ προκατειλῆφθαι τὸ πρωτότυπον ἔχον αὐτοῦ τὸν τύπον). Steph. Byz. s. Σικελία: τὸ ἐθνικὸν Σικελοί καὶ Σικελιῶται. καὶ οἱ

3,2 862 μὲν ἀπὸ τοῦ οἰκιστοῦ καὶ ἀρχηγέτου τῆς χώρας, ἀφ’ οὗ καὶ ἡ χώρα, ὡς Κίλικες τοῦ Κίλικος, οὗ καὶ ἡ Κιλικία, ὡς Θετταλοί ἀπὸ Θετταλοῦ, οὗ ἡ Θετταλία, καὶ Φρύγες Φρυγός, οὗ ἡ Φρυγία· οἱ δ’ ἐπιγενόμενοι καὶ τὴν χώραν εὑρόντες προκεκλημένην ἐπωνομάσθησαν ὡς ἀπὸ τῆς Φθίας Φθιῶται, οὕτω Ἰταλίας καὶ Σικελίας Ἰταλιῶται καὶ Σικελιῶται. Steph. Byz. 160, 22: Βατή· δῆμος τῆς Αἰγηΐδος φυλῆς. τὸ ἐθνικὸν ἐπιρρηματικῶς Βατῆθεν. οὐ δεῖ γὰρ ἐν πᾶσι τὸ ἐθνικὸν ζητεῖν, ἀλλ’ ἢ τῷ ἐπιρρήματι χρῆσθαι ὡς ἐπὶ τῶν δήμων ἢ τῇ γενικῇ μετὰ προθέσεως ἢ τῷ ἀναλόγῳ ἢ τῷ συνήθει τῆς χώρας. St. B. 345, 4 Καβησσός: ἐθνικῶς ἀρκεῖ τὸ Ὁμηρικὸν Καβησσόθεν. πολλὰ γὰρ τοιαῦτα, ὡς τὸ Καμειρόθεν, τὰ τοπικὰ ἐθνικῶς. Περὶ τῶν εἰς αν . St. B. 51, 2: Αἰνία πόλις Περραιβῶν καὶ Αἰνιᾶνες οἱ οἰκοῦντες καὶ Αἶνιος ὁ ποταμὸς αὐτῆς. —τὸ ἐθνικὸν Αἰνιάν. καὶ εἰ μὲν ἀπὸ τοῦ κυρίου Αἰνιᾶνος γέγονεν, εὔλογος ἡ ὁμοφωνία αὐτοῦ ὡς τὸ Τρώς καὶ Ἀχαιός, μὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁμοφωνοῦντος τοῦ Τευκρός καὶ Γραικός. εἰ δὲ παρὰ τὴν πόλιν, εὑρεθήσεται πρότερον Αἴνιος, ὡς τῆς Λυκίας Λύκιος, εἶτα διὰ τὴν ὁμονυμίαν τοῦ ποταμοῦ πρὸς διάκρισιν Αἰνιάν γενέσθαι ὡς μέγιστος μεγιστάν. Περὶ τῶν εἰς ην . E. M. 586, 40, Eustath. ad Dionys. 431 et ad Hom. 1396, 7: Κεφαλλήν γίνεται παρὰ Κέφαλος ὡς κῶλος κωλήν, μέγιστος μεγιστήν καὶ μεγιστάν. Περὶ τῶν εἰς ων . Steph. Byz. 113, 11. Theogn. 29, 11: Ἀργείωνες λέγονται οἱ Ἀργεῖοι ὡς Καδμείωνες παρὰ τὸ Ἀργεῖος. Περὶ τῶν εἰς ας . St. B. 113, 6: ὁ Ἀργεῖος λέγεται καὶ Ἀργόλας κτλ. St. B. 211, 2: Γόννοι πόλις Περραιβίας. τὸ ἐθνικὸν Γονατᾶς, ὃ καὶ παράλογον διὰ τὸν τόνον. Περὶ τῶν εἰς ης . St. B. 113, 14: λέγονται καὶ πατρωνυμικῶς οἱ Ἀργεῖοι ὡς οἱ πολλοὶ καὶ Ἡρόδωρος· ἐν μὲν τῷ νῦν χρόνῳ Ἡρακλεῖδαι, πρὸ δ’ Ἡρα-

3,2 863 κλέους Περσεῖδαι, πρὸ Περσέως δὲ Λυγκεῖδαι καὶ Δαναΐδαι, πρὸ δὲ Δαναοῦ Ἀργειάδαι καὶ Φορωνεῖδαι, ἃς Ἅβρων ποιηταῖς ἀνατίθησιν. Περὶ τῶν εἰς ατης . Ἀγκαρία πόλις Ἰταλίας ὡς Ἀντία Ἀδρία. τὸ ἐθνικὸν Ἀγκαριάτης ὡς Πολύβιος ὀγδόῃ. Αἴπεια πόλις Λακωνικῆς. τὸ ἐθνικὸν Αἰπεάτης ὡς Κορσεάτης Ὑδρεάτης· ἐπὶ δὲ τῶν τοιούτων ἐνίοτε μένοντος τοῦ ι ὑφαιρεῖται τὸ α ὡς Δικαιαρχείτης Σαμαρείτης Ζελείτης, ἔσθ’ ὅτε μένοντος τοῦ ε ὑφαιρουμένου τοῦ ι τὸ α εἰς ω ἀμείβεται ὡς Ἡρακλεώτης, Μαρεώτης καὶ Ῥαφεώτης. Ἀλλαρία πόλις Κρήτης. Πολύβιος τρισκαιδεκάτῃ, τὸ ἐθνικὸν Ἀλλαριάτης ὡς αὐτός φησιν. Ἀμφιγένεια πόλις Μεσσηνιακή. τὸ ἐθνικὸν Ἀμφιγενειάτης διὰ τὸν Πελοποννήσιον χαρακτῆρα ἢ καὶ Ἀμφιγενεύς. Βοιαί Κρήτης πόλις. ὁ πολίτης Βοιάτης ὡς Καρύαι Καρυάτης, Πιτάναι Πιτανάτης, Θαλάμαι Θαλαμάτης. λέγεται καὶ Βοιαῖος ὡς Ἔφορος. Ἡρωδιανὸς δὲ Βοιίτης φησίν, ἴσως παρὰ τὸ Βοιόν ὡς λίκνον λικνίτης. Βρέα πόλις Θρᾴκης. τὸ ἐθνικὸν ἔδει Βρεάτης. ἔστι δὲ Βρεαῖος παρὰ τῷ Θεοπόμπῳ εἰκοστῷ τρίτῳ. Γαθεαί πόλις Ἀρκαδίας, ἧς οἱ πολῖται Γαθεᾶται. Παυσανίας ὀγδόῳ (34, 6) «Γαθεάτᾳ τῆς Κρωμίτιδος χώρας» Γεράνθραι πόλις Λακωνικῆς. ὁ πολίτης Γερανθράτης, ὡς Παυσανίας. Ζέλεια· τὸ ἐθνικὸν Ζελείτης. Ἡρωδιανὸς δὲ Ζελειατῶν φησιν. ἔστι γὰρ Ζελειάτης καὶ Ζελείτης. Ἰάμνια πολίχνιον Φοινίκης. τὸ ἐθνικὸν ἔδει Ἰαμνιάτης. ἔστι δὲ καὶ Ἰαμνίτης καθ’ ὕφεσιν τοῦ α . τὰ γοῦν καθ’ ὕφεσιν τοῦ α διὰ διφθόγγου ἐστὶ πλὴν τοῦ Ἰαμνίτης καὶ τοῦ Δαυνίτης. Ἱππώνιον πόλις Βρεττίων. τὸ ἐθνικὸν Ἱππωνιάτης. τοῦτο δὲ τὸ ἐθνικὸν ὡς ἀπὸ τοῦ Ἱππωνία. ἀπὸ γὰρ τοῦ Ἱππώνιον ἔδει Ἱππώνιος ἢ Ἱππωνιεύς. Κραναή νῆσος Λακωνική. οὕτως ἐκαλεῖτο καὶ ἡ Ἀττική. τὸ ἐθνικόν, εἰ μὲν τῆς Λακωνικῆς, Κραναάτης ὡς Καρυάτης, εἰ δὲ τῆς Ἀττικῆς Κραναῖος ὡς Ἀθηναῖος. Κράνεια χωρίον Ἀμβρακιωτῶν. τὸ ἐθνικὸν Κρανειάτης ὡς Μαλειάτης, ὥς φησι Σοφοκλῆς Λαρισαίοις. Μαῖα πόλις Ἑλλησποντία. τὸ ἐθνικὸν Μαιάτης κατὰ πρόσθεσιν τοῦ της .

3,2 864 Μόψου ἑστία πόλις Κιλικίας. ὁ πολίτης Μοψεάτης κατὰ παραγωγὴν μιᾶς τῶν λέξεων. Οἴνα πόλις Τυρρηνίας. τὸ ἐθνικὸν Οἰνάτης. οὐκ ἀλλότριος γὰρ ὁ τύπος. Ῥάβεννα πόλις Ἰταλίας. τὸ ἐθνικὸν Ῥαβεννάτης, παρὰ τοῖς Ἰταλοῖς Ῥαβεννήσιος. Ῥέσινα πόλις περὶ τὸν Ἄβορον ποταμόν. καὶ εἰ μὲν ὡς τὸ Αἴγινα τονωθείη, τὸ ἐθνικὸν Ῥεσινάτης, εἰ δὲ ὡς Τερῖνα, Ῥεσιναῖος. Ῥεσινάτης δὲ ἄμεινον. Ῥόβεια Πιερίης. τὸ ἐθνικὸν Ῥοβειάτης καὶ Ῥοβείτης καὶ κατὰ διάλυσιν Ῥοβεΐτης. Τύρας πόλις καὶ ποταμὸς ἐν τῷ Εὐξείνῳ πόντῳ. καὶ ἔδει παρὰ τὸν Τύραν Τυράτην εἶναι τὸ ἐθνικόν. ἔστι καὶ Τυρίτης ἀπὸ τοῦ Τύρις. ὁ δὲ πολυίστωρ τὸν ποταμὸν καὶ τὴν πόλιν Τύραν, τοὺς δὲ πολίτας Τυρανούς. Ὕλη πόλις Κύπρου, ἐν ᾗ Ἀπόλλων τιμᾶται Ὑλάτης. Λυκόφρων (448) «καὶ Σέτραχον βλώξαντες Ὑλάτου τε γῆν». Φύτειον πόλις Ἤλιδος. τὸ ἐθνικὸν Φυτεάτης ὡς Γυθεάτης. ὁ γὰρ τύπος Ἀρκάσι συνήθης. Χάλκεια πόλις Καρίας, ἧς τὸ ἐθνικὸν Χαλκεάτης, ὡς Κρατερῷ δοκεῖ. Περὶ τῶν εἰς ετης . St. B. s.: Αὐλαί. τὰ ἀπὸ τῶν εἰς η δισυλλάβων θηλυκῶν ὀξυνομένων μὲν διὰ τοῦ ε ὡς τὸ φυλέτης, βαρυνομένων δὲ διὰ τοῦ η ὡς κωμήτης Σιδήτης. ἐπιστατέον τὸ Καρνίτης ἀπὸ τῆς Κάρνης. Περὶ τῶν εἰς ητης . Αἴγινα. ὁ πολίτης Αἰγινήτης. σπάνια δὲ τὰ εἰς της ἐθνικὰ τῷ η παραληγόμενα ὑπὲρ τρεῖς συλλαβὰς βαρύτονα. ἔστι δὲ ταῦτα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Αἰγινήτης «Μαλειήτης τρύπανον αἰπολικόν». Κεραμιήτης. τὸ δὲ πολιήτης πλεονασμὸν ἔχει τοῦ η ὡς τὸ μυθιήτης, ὅπερ οὐδ' ἐθνικόν, καὶ τὸ Ἰουλιήτης ἀπὸ τοῦ Ἰουλίτης, τὸ δὲ Βαργυλιήτης καὶ Μασσαλιήτης τέτραπται. τὸ δὲ κωμήτης Σιδήτης λιμνήτης τρισύλλαβα. Δεκίητον πόλις Ἰταλίας. τὸ ἐθνικὸν Δεκιῆται, ὡς Ἀρτεμίδωρος ἐν α' γεωγραφουμένων. Διοσκούρων κώμη Λιβύης. ὁ κωμήτης Διοσκουροκωμήτης ὡς Μεγαλοκωμήτης, ἐκ δύο ἓν παραγωγόν. Μαλέα ἄκρα πρὸς τῇ Πελοποννήσῳ καὶ Μάλεια. Μαλειήτης ὡς Αἰγινήτης λέγεται καὶ Μαλεάτης. Νινόη ἡ ἐν Καρίᾳ Ἀφροδισιάς. τὸ ἐθνικὸν Νινοήτης ὡς τὸ πύλη πυλήτης, ὅθεν «Πυλάτιδες ἀγοραί» (Sophocl. Trach. 639) καὶ λίμνη λιμνήτης.

3,2 865 Σίδη πόλις Παμφυλίας. ὁ πολίτης Σιδήτη ς. τὴν δευτέραν συλλαβὴν ἔχει διὰ τοῦ η διὰ τὸν βαρὺν τοῦ πρωτοτύπου τόνον. τὰ γὰρ εἰς η λήγοντα δισύλλαβα πρωτότυπα ὀξυνόμενα μὲν διὰ τοῦ ε τὸ παραγωγὸν ἐκφέρει, φυλή φυλέτης, βαρυνόμενα δὲ διὰ τοῦ η , κώμη κωμήτης, Πύλη Πυλήτης καὶ Πυλάτης. Περὶ τῶν εἰς ιτης . Ἄβαρνος: τὰ εἰς ις φιληδεῖ τῷ εἰς ιτης τύπῳ ὡς Μέμφις Μεμφίτη ς. τὸ δὲ Μακριεύς καὶ Χαλκιεύς καὶ Χαλκιδεύς ἀπὸ γενικῆς προῆλθον. Ἄβδηρα. ὁ πολίτης Ἀβδηρίτη ς. καὶ γὰρ τοῦ Δίολκος Διολκίτης καὶ τοῦ Ὀξύρυγχος Ὀξυρυγχίτης. Ἔφορος καὶ τὴν πόλιν Ἄβδηρόν φησιν. καὶ ἀπὸ τῶν εἰς α οὐδετέρων εὑρίσκεται ὡς Γάβαλα Γαβαλίτης. τοῦ Ἀβδηρίτης μέμνηται Εὔδοξος ἐν τετάρτῃ περιόδων καὶ Παυσανίας ἕκτῃ περιηγήσεως (c. 5, 4) καὶ Ἡρόδοτος ἑβδόμῃ (c. 120) καὶ πολλαχοῦ Ἑκαταῖός τε καὶ πολλοί. Ἄβοτις πόλις Αἰγυπτία. ὁ πολίτης κατὰ μὲν τὸ ἐπιχώριον Ἀβοτίτης ὡς Ναύκρατις Ναυκρατίτης, κατὰ δὲ Ἑκαταῖον Ἀβοτιεύς ὡς Μάκρις Μάκριος Μακριεύς, Χάλκις Χάλκιος Χαλκιεύς, Ἄβοτις Ἀβότιος Ἀβοτιεύς. Ἀγκυρῶν πόλις Αἰγύπτου. τὸ ἐθνικὸν ἡ τέχνη ἐκ τοῦ Αἰγυπτίων ἔθους. ὡς γὰρ Κυνῶν πόλις Κυνοπολίτης, Λεόντων πόλις Λεοντοπολίτης, Λύκων πόλις Λυκοπολίτης, Λάτων πόλις Λατοπολίτης, οὕτως Ἀγκυρῶν πόλις Ἀγκυροπολίτη ς. Ἀδράνη πόλις Θρᾴκης. Πολύβιος δὲ Ἀδρήνη. τὸ ἐθνικὸν Ἀδρηνίτης ὡς Συήνη Συηνίτης, Σελήνη Σεληνίτης. δύναται δὲ καὶ Ἀδρηναῖος ὡς Κυρηναῖος Πελληναῖος Μιτυληναῖος. δίδωσιν ἡ τέχνη καὶ τὸ Ἀδρηνεύς ὡς Πελληνεύς. Ἄζιλις πόλις Λιβύης. Χάραξ δὲ Ἄζιρον λέγει αὐτήν. ὁ πολίτης Ἀζιλίτης, ὅτι πρωτότυπον εἰς ις , τῷ Λιβυκῷ χαρακτῆρι καὶ Αἰγυπτίῳ, καὶ ὡς Κάνωβος Κανωβίτης. εἰ δὲ οὐδετέρως Ἄζιρον, τὸ ἐθνικὸν Ἀζιρεύς ὡς Σουνιεύς. Αἰγίμορος νῆσος Λιβύης. τὸ ἐθνικὸν Αἰγιμορίτη ς. δι' ἔθους γὰρ Λίβυσιν ὁ χαρακτήρ. Ἀκμονία πόλις Φρυγίας. τὸ ἐθνικὸν Ἀκμονίτης λέγεται ἀπὸ τῆς Ἄκμονος γενικῆς. Ἀκμόνεια, ἀφ' ἧς Ἀκμονειάτη ς. τοῦτο δέ μοι εἴρηται, ἐπειδὴ τὰ εἰς ευς ἀπὸ τῆς ου γενικῆς γίνεται, Ἀλεξάνδρου Ἀλεξανδρεύς, ἢ ἀπὸ ἰσοσυλλάβου γενικῆς Ἀπάμας Ἀπαμεύς, Ὑρίας Ὑριεύς. Ἄμβασον μητρόπολις τῶν Φρυγῶν. ὁ πολίτης Ἀμβασίτης, ὡς ὁ πολυίστωρ Ἀλέξανδρος. Ἀμφάξιον. δύο μέρη λόγου. τὸ ἐξ αὐτοῦ Ἀμφαξίτης Στράβων ἑβδόμῃ (p. 330).

3,2 866 ἄντρον. τὸ τοπικὸν ἔδει ἀντρίτης ὡς λίκνον λικνίτης. εὕρηται δὲ ἀντραῖος, ὡς Εὐριπίδης ἐν Αἰγεῖ. Ἄργιλα πόλις Καρίας. τὸ ἐθνικὸν Ἀργιλίτης, ὡς Ἀλέξανδρος ἐν τῷ περὶ Καρίας β'. Ἀρσινόη. τὸ ἐθνικὸν Ἀρσινοΐτης καὶ Ἀρσινοεύς ἐπὶ τῆς Αἰτωλικῆς, ὡς Πολύβιος ἐνάτῳ. ἀλλὰ καὶ τῆς ἐν Λιβύῃ Ἀρσινοεύς, ὡς Ἀλέξανδρος ἐν Λιβυκῶν τρίτῳ. Ἀσκάλων πόλις Συρίας. τὸ ἐθνικὸν Ἀσκαλωνίτης καὶ Ἀσκαλώνιος παρὰ τὸ Ἀσκαλώνιον, ὡς Ξάνθος ὁ Λυδός, καὶ Ἀσκαλωνίς θηλυκόν. παρὰ δ' Εὐδόξῳ διὰ τῆς αι ἐν τῷ α'. καὶ κατὰ τὴν Ἀλεξανδρέων συνήθειαν Ἀσκαλωναῖα κεράμια. Ἄσκλος πόλις Ἰταλίας. ἔστι καὶ οὐδέτερον. τὸ ἐθνικὸν Ἀσκλίτης ὡς λίκνον λικνίτης καὶ ὁπλίτης. Ἀσπίς πόλις Λιβύης. τὸ ἐθνικὸν δύναται Ἀσπιδίτης τῷ ἔθει τῶν Αἰθιοπικῶν πόλεων καὶ Λιβυσσῶν. ἄστυ. ὁ πολίτης ἀστός καὶ ἀστή καὶ ἀστόν. ἀπὸ τοῦ ἀστός ὁ ἀστίτη ς. Σοφοκλῆς Ἀλεξάνδρῳ «οὐ γάρ τι θεσμὰ τοῖσιν ἀστίταις πρέπει». καὶ «βοτῆρα νικᾶν ἄνδρας ἀστίτας. τί γάρ;» ἐντεῦθεν καὶ τὸ ἐν τῇ συνηθείᾳ προαστίτη ς. οὐ γὰρ παρὰ τὸ προάστιον. ἦν γὰρ προαστιεύς ὡς Δουλιχιεύς, ἢ προάστιος ὡς Βυζάντιος. οὕτω γὰρ καὶ

τὸ θηλυκὸν εὑρίσκεται προαστία γῆ ἐν Φρίξῳ Σοφοκλέους «ὅρια κελεύθου τῆσδε γῆς προαστίας». Αὔγιλα οὐδετέρως πόλις Λιβύης. τὸ ἐθνικὸν Αὐγιλίτης διὰ τὸ ἐπιχώριον ὡς Γάβαλα Γαβαλίτης. Ἀφάκη πόλις Λιβύης. τὸ ἐθνικὸν Ἀφακίτης διὰ τὸ ἴδιον τῆς χώρας. Βέμβινα κώμη τῆς Νεμέας. ὁ πολίτης Βεμβινίτης ὡς Σταγειρίτης. παρὰ δὲ Ῥιανῷ Βεμβινάτη ς. ἔοικεν οὖν ὡς Αἰγινάτης καὶ Αἰγινήτης κατὰ τροπήν, ὡς Πανύασις ἐν Ἡρακλείας πρώτῃ «δέρμα τε θήρειον Βεμβινήταο λέοντος». καὶ ἄλλως «καὶ Βεμβινήταο πελώρου δέρμα λέοντος». Βιθυόπολις. τὸ ἐθνικὸν ὤφειλε Βιθυοπολίτη ς. εὗρον δὲ Βιθυνιαπολίτης παρὰ Ἀρριανῷ ἐν πέμπτῳ Βιθυνιακῶν. δεῖ δὲ τοῦ Βιθυνόπολις Βιθυνοπολίτη ς. Βορυσθένης. ὁ πολίτης Βορυσθενίτης καὶ τὸ θηλυκὸν Βορυσθενῖτις, οὐκ ἀπὸ τῆς πόλεως, ἀλλ' ἀπὸ τοῦ ποταμοῦ. βούλεται δὲ τὴν ει δίφθογγον ἔχειν ἐν τῇ παραληγούσῃ. ἀπὸ γὰρ τῆς εἰς ος εὐθείας ἡ διὰ τοῦ ιτης παραγωγὴ πλεονάζει μιᾷ συλλαβῇ, ὡς τόπος τοπίτης, Κανωπίτης ὁ Ἄδωνις παρὰ Παρθενίῳ. τὸ δὲ Ἰήτης ἀπὸ τῆς Ἴου διὰ τὸ ι ἐξηνέχθη διὰ τοῦ η . καὶ ἀπὸ γενικῆς Ἀσκάλωνος Ἀσκαλωνίτης, Ἕλεος Ἑλεΐτης καὶ Ἑλείτης ὁ τὸ Ἕλος οἰκῶν, Ὠρεός Ὠρεΐτης καὶ Ὠρείτης. ἔδει οὖν καὶ Βορυσθενείτης διὰ διφθόγγου· οὐ γὰρ ὅμοιον τῷ τεμενίτης οὐδὲ τῷ ἑρκίτης. οὐ γὰρ ἀπὸ τῆς γενικῆς ἀλλ' ἀπὸ τῆς εἰς ος εὐθείας ταῦτα καὶ εἰκότως ἔχει τὸι · τὸ δὲ Βορυσθένης οὐκ εἰς ος λήγει. τί οὖν ἐροῦμεν; ὅτι ἠκολούθησε τῷ πλείονι χαρακτῆρι διὰ

3,2 867 τοῦ ι . τὰ γὰρ διὰ διφθόγγου ὀλίγα, Ζελείτης, Σαμαρείτης, Δικαιαρχείτης, Μαρωνείτης. Βούβαστος πόλις Αἰγύπτου. τὸ ἐθνικὸν Βουβαστίτη ς. λέγεται καὶ Βουβάστιος παρὰ Θεοπόμπῳ. Βυζακίς χώρα περὶ τὰς Σύρτεις. τὸ ἐθνικὸν τῷ τύπῳ Βυζακίτης ἂν εἴη, νῦν δὲ Βυζακηνοί λέγονται τῷ δυτικῷ χαρακτῆρι καὶ ἱμάτια δ' ἐκεῖθεν Βυζακηνά. Γάβαλα πόλις Φοινίκης. ὁ οἰκήτωρ Γαβαλίτης, ἀλλὰ καὶ Γαβαλεύς ὡς Μεγαρεύς. Γάβιοι πόλις Λατίνων. τὸ ἐθνικὸν Γαβῖτα ι. δυνατὸν καὶ Γαβίους, ὡς Διονύσιος ἐν τετάρτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας ἀμφότερα καὶ τὴν πόλιν καὶ τοὺς οἰκήτορος καλεῖ. Διὸς ἱερόν πολίχνιον Ἰωνίας. τὸ ἐθνικὸν Διοσιερίτης ὡς Φλέγων ἐν πρώτῃ Ὀλυμπιάδων. Ἔλβονθις πόλις μεταξὺ Αἰγύπτου καὶ Κυρήνης. τὸ ἐθνικὸν Ἐλβονθίτης ὡς Φλέγων. Ἑλληνικόν καὶ Καρικόν τόποι ἐν Μεμφίδι, ἀφ' ὧν Ἑλληνομεμφῖται καὶ Καρομεμφῖται, ὡς Ἀρισταγόρας. Ἔλωρος πόλις Σικελίας. ὁ πολίτης Ἐλωρίτη ς. Θουκυδίδης δὲ ἐν ἑβδόμῃ (c. 80) καὶ Ἐλωρίνην ὁδόν φησιν. Ἑσπερίς πόλις Λιβύης. ὁ πολίτης Ἑσπερίτη ς. Καλλίμαχος ἐν τοῖς ἐπιγράμμασιν. Εὔτρησις κώμη Βοιωτίας. ὁ κωμήτης Εὐτρησίτη ς. τὸ γὰρ Εὐτρήσιοι πόλις Ἀρκαδίας καὶ οὐκ ἐθνικόν. Ἠλεκτρίδες νῆσοι. τὸ ἐθνικὸν Ἠλεκτρίτης πρὸς τὸν τόπον τῶν εἰς ις , Ἠλεκτρῖνοι δὲ διὰ τὸ ἐπιχώριον. Θίς πόλις Αἰγυπτία. ὁ πολίτης Θινίτη ς. Ἀλέξανδρος Αἰγυπτιακῶν πρώτῳ. Ἰαγξούατις πόλις Λιβύων. ὁ πολίτης Ἰαγξουατίτη ς. Αἰγυπτίων γὰρ καὶ Αἰθιόπων ὁ χαρακτήρ. Ἴδυρος πόλις Παμφυλίας, ἢ καὶ Ἰδυρίς. τὸ ἐθνικὸν Ἰδυρίτης τῷ τύπῳ τῶν εἰς ις . Ἰώνη ἡ Ἀντιόχεια ἡ παρὰ Δάφνην. τὸ ἐθνικὸν Ἰωνίτης ἢ Ἰωναῖος ὡς Κλεωναῖος «Κλεωναίοιο χάρωνος». Καλὴ ἀκτή πόλις Σικελῶν. ἔστι δὲ ὡς Μεγάλη κώμη. ἐκ τῶν δύο δὲ ἡ παραγωγή, Μεγαλοκωμήτης, Καλακτίτης ἢ Καλοακτίτης διὰ τοῦ ι , ἐπεὶ καὶ παρὰ τὸ Ἀκτή Ἀκτίτης, ἢ Καλοακταῖος ἢ Καλοάκτιος ὡς Πανάκτιος καὶ ἐπάκτιος. Κάμαρα πόλις Κρήτης. ὁ πολίτης Καμαρίτης ὡς Ξενίων ἐν Κρητικοῖς φησιν.

3,2 868 Κάρνη πόλις Φοινίκης. ὁ πολίτης Καρνίτη ς. Λυκόφρων (1291) «ὄλοιντο ναῦται πρῶτα Καρνῖται κύνες». Ἀρτεμίδωρος δ' ἐν τῷ δεκάτῳ βιβλίῳ φησίν «ἔστι Κάρνος καὶ συνεχῶς Πάλτος, εἶτα Γάβαλα πόλις». καὶ ἀναλογεῖ τὸ Καρνίτης. Καρὸς κῆποι χωρίον Θρᾴκης. τὸ ἐθνικὸν Καροκηπίτης ὡς Θεόπομπος. Κατακεκαυμένη χώρα τῆς Ἐφεσίας. τὸ ἐθνικὸν Κατακεκαυμενίτης «ἄδενδρος ἅπασα πλὴν τῆς ἀμπέλου τῆς τὸν Κατακεκαυμενίτην φερούσης οἶνον. εἰκάζουσι δέ τινες ἐκ κεραυνοβολιῶν καὶ πρηστήρων συμβῆναι» (Strab. p. 628). Κορησσός πόλις τῆς Ἐφεσίας. τὸ ἐθνικὸν Κορησσίτη ς. καὶ ἴσως ἀπὸ τοῦ Κόρησσις. λέγεται καὶ Κορησσεύ ς. Κύρου πόλις ἢ καὶ Κυρέσχατα καλεῖται. ὁ πολίτης καθ' ἡμᾶς Κυροπολίτης, κατὰ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πέρσας Κυρεσχατηνοί ὡς Ἀραξηνοί καὶ Καμβυσηνοί. Κῶπαι πόλις Βοιωτική. ὁ πολίτης Κωπαΐτης, ὡς Ἐπαφρόδιτος· ἔστι δὲ ἀπὸ τοῦ Κωπαῖος ὡς Ἀθηναῖος Ἀθηναΐτης· καὶ Κωπαιεύ ς. Λάεια πόλις Καρίας. ὁ πολίτης Λαΐτης ὡς Παυσανίας φησὶ πέμπτῳ (24, 6). Λίηβρις πόλις Φοινίκων. τὸ ἐθνικὸν Λιηβρίτης ὡς Συβαρίτης. Ἑκαταῖος περιηγήσει Αἰγύπτου. Μαριαμμία πόλις Φοινίκης. οἱ πολῖται Μαριαμμῖται, ὡς Παυσανίας ἐν κτίσει αὐτῆς. Μαχαιροῦς φρούριον τῆς Ἰουδαίας. τὸ ἐθνικὸν ὤφειλεν ὡς Ἱεριχούντιος. Ἰώσηπος δὲ Μαχαιρίτας αὐτούς φησι (B. I. II 36). Μέσσωγις ὄρος Λυδίας. τὸ τοπικὸν Μεσσωγίτη ς. Στράβων τεσσαρεσκαιδεκάτῃ (p. 648) «ὅθεν ἄριστος Μεσσωγίτης οἶνος ὁ Ἀρομεύς». Μιλητούπολις πόλις περὶ τὸν Ῥύνδακα. ὁ πολίτης Μιλητοπολίτη ς. Στράβων δωδεκάτῃ (p. 575). Μυλαί πόλις Σικελίας· ὁ πολίτης Μιλαΐτης ὡς τῶν Θηβῶν Θηβαΐτης, Ἀθῆναι Ἀθηναΐτης. εἰσὶ γὰρ οἳ οὕτω λέγονται. Νάρβων πόλις Κελτική. τὸ ἐθνικὸν Ναρβωνίτης ὡς Ἀσκαλωνίτης. Ἑκαταῖος καὶ Ναρβαίους αὐτούς φησι. Νέον τεῖχος πόλις τῆς Αἰολίδος ὡς Χωλὸν τεῖχος. τὸ ἐθνικὸν Νεοτειχίτης ὡς Χωλοτειχίτης. Νικόπολις πόλις Ἠπείρου. ὁ πολίτης Νικοπολίτης, ὡς Παυσανίας δεκάτῳ (c. 8, 3). Σεθρόη πόλις Αἰγύπτου. ὁ πολίτης Σεθροΐτης ὡς Ἀρσινοΐτης. Ἀλέξανδρος τρίτῳ Αἰγυπτιακῶν. Σελευκόβηλος πόλις Συρίας. τὸ ἐθνικὸν Σελευκοβηλίτης καὶ
3,2 869 Σελευκοβηλαῖο ς. λέγεται καὶ Σελευκεὺς πρὸς τῷ Βήλ ῳ. οὕτω γὰρ Παυσανίας ἐν τῷ περὶ Ἀντιοχείας φησί. σπήλαιον τὸ ἄντρον. οἱ οἰκοῦντες σπηλαῖτα ι. εἰσὶν οὖν «ἀγάλματα Ἡρακλέους Ἑρμοῦ καὶ Ἀπόλλωνος σπηλαῖται καλούμενοι» (Pausan. X 32, 5). Τομεύς πόλις πρὸς τῇ Ὀδησσῷ. ὁ πολίτης Τομίτη ς. ὤφειλε δὲ ὡς Ἀταρνείτης διὰ διφθόγγου γράφεσθαι. Φᾶρις πόλις τῆς Λακωνικῆς. οἱ πολῖται Φαρῖται ὡς Παυσανίας (III 2, 6) καὶ Φαριάτης ὡς Σπαρτιάτης. Φασαηλίς πόλις τῆς Ἰουδαίας. τὸ ἐθνικὸν Φασαηλίτης ὡς Ἰώσηπος ἐν α′ τοῦ πρὸς Ῥωμαίους πολέμου (c. 16). Φελλός καὶ Ἀντίφελλος πόλεις Λυκίας. ὁ πολίτης Φελλίτης καὶ Ἀντιφελλίτης, ὡς Ἀλέξανδρος ἐν τῷ περὶ Λυκίας καὶ Πολύχαρμος. Χυτρόπολις Θρᾴκης χωρίον. τὸ ἐθνικὸν Χυτροπολίτη ς. Θεόπομπος Φιλιππικῶν εἰκοστῷ δευτέρῳ «εἰσδεξαμένων δὲ τῶν Χυτροπολιτῶν αὐτόν». χώρα. ἀπὸ τοῦ χῶρος χωρίτης ὡς τοῦ μέσος μεσίτης τόπος τοπίτης ἢ ἀπὸ τοῦ χώρα χωρίτης ὡς ἀπὸ τοῦ ἕδρα ἑδρίτης ἑσπέρα ἑσπερίτης. Σοφοκλῆς Αἰγεῖ «κλύω μὲν οὐκ ἔγωγε, χωρίτην δ' ὁρῶ». καὶ ἐν Ἡρακλεῖ «τρέφουσι κρήνης φύλακα, χωρίτην ὄφιν». καὶ Αἰσχύλος ἐν Λέοντι σατυρικῷ «ὁδοιπόρων δήλημα, χωρίτης δράκων». καὶ Ἀπολλώνιος ἐν τῷ Κανώβῳ τέρψει δὲ νηῶν ὁ γλυκύς σε χωρίτης πλόος κομίζων δῶρα πλουσίου Νείλου. καὶ χώριος μὲν οὐ λέγεται, ἀλλὰ τὸ σύνθετον τὸ ἐγχώριος καὶ ἐπιχώριος σύνηθες ἐκ τοῦ ἐν χώρᾳ καὶ ἐπὶ χώρας, ὡς τοῦ ἐν τόπῳ ἐντόπιος καὶ τοῦ ἐκ τόπου ἐκτόπιος. τὸ ἐγχώριος καὶ παρὰ Σοφοκλεῖ κεῖται. τὸ δὲ ἐπιχώριος καὶ ἐπιχωριάζειν ἐν τῷ περὶ ψυχῆς (c. 1) φησι Πλάτων. Ψίλιον ποταμὸς μεταξὺ Θυνίας καὶ Βιθυνίας. καὶ ἄλλος Ψίλις ποταμὸς τῆς Βιθυνίας. τὸ τοπικὸν Ψιλίτη ς. ἐν δὲ τῇ συνηθείᾳ ἐπεκράτησεν ἀμφοτέρων τῶν ποταμῶν τοὺς οἰκήτορας Ψιλιανοὺς καλεῖν. Περὶ τῶν εἰς ειτης . Ἁγνώνεια πόλις Θρᾴκης. τὸ ἐθνικὸν Ἁγνωνείτης ὡς Μαρωνείτης τοῦ Μαρώνεια καὶ Καυκωνείτης τοῦ Καυκώνεια κατ' ἔλλειψιν τοῦ α . Αἰθάλη νῆσος. λέγεται καὶ Αἰθάλεια. τὸ ἐθνικὸν ἐκ τοῦ Αἰθάλεια Αἰθαλείτης ὡς Ζελείτης, ἐκ δὲ τοῦ Αἰθάλη Αἰθαλίτης ὡς Σινωπίτης Ἰοπίτης. δύναται τὸ Αἰθαλίτης ἀντὶ τοῦ Χῖος. οὕτω γὰρ ἡ Χίος ἐλέγετο. καὶ οἱ πολῖται Αἰθαλεῖ ς. ἀκρώρεια ἄκρον ὄρους, ἐν ᾧ οἱ οἰκοῦντες ἀκρωρεῖτα ι. οὕτω δὲ
3,2 870 παρὰ Σικυωνίοις ἐτιμᾶτο ὁ Διόνυσος «ἐκαλεῖτο δὲ παρὰ μὲν Σικυωνίοις Ἀκρωρείτης, παρὰ δὲ Μεταποντίνοις Ἐρίφιος», Ἀπολλόδωρός φησιν. Καυκώνεια. τὸ ἐθνικὸν Καυκωνείτης ὡς Ζελείτης. ὤφειλε δὲ Καυκώνιος ἀπὸ τῆς Καύκωνος γενικῆς ὡς Ἀντρώνιος. Ὠρεός πόλις Εὐβοίας. τούτου τὸ ἐθνικὸν διὰ τῆς ει γράφεται Ὠρείτης ὡς Ζελείτης Σαμαρείτης Μαρωνείτης. μέμνηται τοῦ ἐθνικοῦ καὶ Χάραξ ἐν χρονικῶν ις′ «Ἀθηναῖοι ἅμα Χαλκιδεῦσι τοῖς ἐν Εὐβοίᾳ καὶ Μεγαρεῦσι στρατεύσαντες εἰς Ὠρεὸν Φιλιστίδην τὸν τύραννον ἀπέκτειναν καὶ Ὠρείτας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἠλευθέρωσαν». Ἀπολλόδωρος δὲ τετρασυλλάβως φησίν, οὐ διὰ τῆς ει διφθόγγου, ἀλλὰ διὰ τοῦ ε καὶ διὰ τοῦ ι Ὠρεΐτας «οὕτω δὲ τὴν τῶν Ὠρεϊτῶν νυκτὸς αἱροῦσιν πόλιν». καὶ δοκεῖ ἀναλογώτερον εἶναι. τὰ γὰρ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιτης παραγόμενα μιᾷ συλλαβῇ πλεονάζει τῆς τοῦ πρωτοτύπου γενικῆς, Στάγειρος Σταγείρου Σταγειρίτης, Ἄβδηρος Ἀβδήρου Ἀβδηρίτης, Πεντάσχοινος Πεντασχοίνου Πεντασχοινίτης, Δίολκος Διόλκου Διολκίτης· οὕτως Ὠρεός Ὠρεοῦ Ὠρεΐτης καὶ κατὰ σύνοδον τοῦ ε καὶ τοῦ ι Ὠρείτης. οὐχ ὅμοιον δὲ τούτῳ τὸ Ζελείτης καὶ Σαμαρείτης· ταῦτα γὰρ ἀπὸ τῶν εἰς α καθαρὸν ληγόντων παρῆκται. Περὶ τῶν εἰς οιτης . Κύβος ἢ Κυβώ πόλις Ἰώνων ἐν Λιβύῃ Φοινίκων. ὁ πολίτης Κυβοίτης ὡς Σαβοίτης τῆς Σαβοῦς. ἢ Κυβίτης ὡς τῆς Βούτου Βουτίτης. Περὶ τῶν εἰς ουτης Μαντύη καὶ Μάντυα πόλις Ῥωμαίων. γράφεται καὶ Μάντουα τῷ τῶν Ῥωμαίων ἔθει. Μαντούτη ς. ἔστι δὲ κατὰ συγκοπὴν ὡς Ζελείτης. Περὶ τῶν εἰς υτης . Αἶγυς πόλις Λακωνικῆς. οἱ πολῖται Αἰγῦται, ὡς Παυσανίας (III 2, 5). Λυκόφρων δὲ τὸ ἐθνικὸν Αἴγυος τὸ θηλυκὸν λέγων οὕτως (v. 903) «καὶ πάντα τλήσεσθ' οὕνεκ' Αἰγύας κυνός, τῆς θηλύπαιδος καὶ τριάνορος κόρης». Θεόπομπος δὲ Αἰγυέας αὐτούς φησιν. Κῶβρυς πόλις Θρᾴκης. τὸ ἐθνικὸν Κωβρύτης ὡς Αἶγυς Αἰγύτης. Μῶλυς, Λίβυσσα πόλις. τὸ ἐθνικὸν Μωλύτης τῷ τύπῳ τῶν Λιβυσσῶν πόλεων καὶ Μωλυάτη ς. Περὶ τῶν εἰς ωτης . Ἀργέου νῆσος, νῆσος Αἰγύπτου. οἱ οἰκήτορες Ἀργεῶται ὡς τῆς Νικίου Νικιῶται καὶ τῆς Χαιρέου Χαιρεῶται. καὶ αὗται γὰρ Αἰγύπτου πόλεις. Αὐλαί ἐπίνειον Κιλίκων. οἱ οἰκοῦντες Αὐλεῶται πρὸς τῶν ἐπιχωρίων ὀνομάζονται. τῶν δὲ εἰς αι οὐκ ἔστιν ὁ διὰ τοῦ ωτης τύπος,

3,2 871 ἀλλ' ἔοικεν ὡς ἀπὸ τοῦ Ῥάφεια Ῥαφειώτης Ῥαφεῶται. εἰ δὲ ἑνικῶς ἐλέγετο, ὤφειλεν Αὐλέτης ἢ Αὐλίτης. τὰ γὰρ κτλ. Ζεφύριον. τὸ ἐθνικὸν Ζεφυριώτη ς. τὸ οὖν Ζεφυρίτης ἀπὸ τοῦ Ζεφυριώτης συγκοπῇ τοῦ ω ὡς τὸ Θρονίτης. Καρπασία πόλις Κύπρου. λέγεται καὶ Καρπάσεια. ὁ πολίτης Καρπασεώτης ὡς Μαρεώτης. Θεόπομπος ἐν δεκάτῳ Καρπασεῖς αὐτούς φησιν, ἴσως ἀπὸ τοῦ Κάρπασος ὡς Ἀντίοχος Ἀντιοχεύς, ἀφ' οὗ Καρπάσεια. Κασταλία πόλις Κιλικίας. τὸ ἐθνικὸν Κασταλιώτη ς. ὁ τύπος τοῖς Κίλιξι συνήθης. πατρίς. τὸ ἐθνικὸν ὤφειλε πατρίτης. ἄμεινον δὲ πατριώτη ς. Ῥαφάνεια πολίχνιον Συρίας. ὁ πολίτης Ῥαφανεώτη ς. τῶν δὲ εἰς ωτης ἐθνικῶν τὰ πολλὰ τὸ ι πρὸ τοῦ ω ἔχει, Πηλιώτης, Φθιώτης. σπάνια δὲ τὸ ε καὶ σχεδὸν ἀπὸ τῆς ει συσταλέντα, Ἡρακλεώτης. οὕτω καὶ Ῥαφανεώτης. Περὶ τῶν εἰς αιος . Ἀγάθυρνα πόλις Σικελίας. τὸ ἐθνικὸν Ἀγαθυρναῖο ς. οὐ γὰρ ἀήθης ὁ τύπος τοῖς τὴν Σικελίαν οἰκοῦσιν· Ἱμεραῖος γὰρ καὶ Ἐνναῖος καὶ Καταναῖός φασιν. Ἄγυλλα πόλις Τυρρηνίας. ὁ πολίτης Ἀγυλλαῖο ς. Ῥιανὸς δὲ Ἀγύλλιον εἶπε χαλκόν. Ἀθῆναι. ὁ πολίτης Ἀθηναῖο ς. ἐλέγοντο δὲ καὶ πατρωνυμικῷ τύπῳ, ὡς Ἅβρων ἐν τῷ περὶ παρωνύμων, ὅτι εἰσὶ διτταὶ προσηγορίαι παρὰ ποιηταῖς, ἀπό τε τῆς πατρίδος καὶ τοῦ συνοικιστοῦ. Ἁλικαρνασσεῖς γὰρ Ἀνθεάδαι καὶ Φαλαντιάδαι οἱ Ταραντῖνοι ἐλέγοντο ἀπὸ τῶν διασημοτάτων παρ' αὐτοῖς, Ἀθηναῖοι δὲ Κοδρίδαι καὶ Κεκροπίδαι Θησεῖδαι Ἐρεχθεῖδαι. καὶ ταύτας γε κλήσεις τῶν ἀπὸ τῆς πατρίδος ἐντιμοτέρας ἐνόμιζον. Ἀθύρας ἐπίνειον καὶ ποταμὸς περὶ τὸ Βυζάντιον. τὸ ἐθνικὸν διὰ τῆς αι διφθόγγου Ἀθυραῖος ὡς Ῥήβας Ῥηβαῖος. Αἴβουρα πόλις Ἰβηρίας. ὁ πολίτης Αἰβουραῖος ὡς ἀρουραῖος, Κόλουρα Κολουραῖος, Ἄργουρα Ἀργουραῖος, Ἴουρα Ἰουραῖος, καὶ σχεδὸν πάντα τὰ εἰς ρα . δύναται καὶ Αἰβουράτης ὡς Αἴγειρα Αἰγειράτης, Κίβυρα Κιβυράτης. Ἀκάνναι ἐμπόριον περὶ τὴν Ἐρυθρὰν θάλασσαν. τὸ ἐθνικὸν Ἀκανναῖος ὡς Σαβαῖος καὶ Γερραῖος καὶ Ἐρυθραῖος παρ' αὐτοῖς. Ἀκραιφία πόλις Βοιωτίας. τὸ ἐθνικὸν Ἀκραιφιαῖος καὶ Ἀκραίφιος (οὕτω γὰρ Ἀπόλλων τιμᾶται) καὶ Ἀκραιφιεύς καὶ Ἀκραιφιάς ὡς Σουνιεύς Σουνιάς καὶ Ἀκραιφίς λίμνη. Ἔφορος δὲ Ἀκραιφνίους καὶ Ἀκραιφνιώτα ς. Θεόπομπος δὲ τὰ Ἀκραίφνια φησὶ καὶ τὸ ἐθνικὸν Ἀκραιφνιεύ ς.

3,2 872 Ἀκτή ἡ Ἀττική. τὸ ἐθνικὸν Ἀκταῖος καὶ Ἀκταία καὶ Ἀκταιίς καὶ Ἀτθίς καὶ Ἀκτίτης, ἐξ οὗ τὸ Ἀκτίτου πέτρα ἐν τῇ τραγῳδίᾳ ἀντὶ τοῦ Ἀττικοῦ, ὡς αὐλή αὐλίτης. ἔστι καὶ « Ἄκτιος Αἰγεύς», ὡς Εὐφορίων Διονύσῳ. ἔστι καὶ Ἀκτιάς καὶ τὸ Ἄκτιον, ἀφ' οὗ τὸ Ἀκτιώτης, ὡς Πηλιώτης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ζεφυριώτης. ἄμεινον δὲ τοῦτο εἶναι ἀπὸ τοῦ Ἀκτία τοῦ δηλοῦντος τήν τε χώραν καὶ τὴν γυναῖκα, ὡς Πελασγία Πελασγιώτης. ἔστι καὶ Ἀττικός καὶ Ἀττική κατὰ τροπὴν διὰ τὴν εὐφωνίαν. Ἀλθαία πόλις Ὀλκάδων. τὸ ἐθνικὸν Ἀλθαῖος ὡς Αἰαῖος ἢ Ἀλθαιάτης ἢ Ἀλθαιανό ς. εὕρομεν δὲ ἐν ταῖς συγγραφαῖς Δημητρίου Ἀλθαιέ α. Ἀμύκλαι πόλις Λακωνική. τὸ ἐθνικὸν τοῦ Ἀμύκλαι Ἀμυκλαῖος καὶ Ἀμυκλαιεύς ἐξ αὐτοῦ ὡς Κρηταῖος Κρηταιεύς. λέγεται καὶ Ἀμυκλαΐτης ὡς Θηβαΐτης. Ἀναία πόλις Καρίας. τὸ ἐθνικὸν Ἀναῖο ς. Θουκυδίδης ἐν τρίτῃ (c. 19) Ἀναΐτας φησὶ τοὺς πολίτας. Ἄναυα πόλις Φρυγίας. τὸ ἐθνικὸν Ἀναυαῖος ἢ Ἀναυεύς, ἐπειδὴ χαίρουσι τοῖς εἰς ευς Φρύγες. Ἀνητοῦσσα πόλις Λιβύης. ὁ πολίτης Ἀνητουσσαῖος ὡς Σκοτουσσαῖος, ὡς ὁ πολυίστωρ φησίν. Ἄνθυλλα πόλις Αἰγύπτου. τὸ ἐθνικὸν Ἀνθυλλαῖος ὡς Ἄβολλα Ἀβολλαῖος. καὶ Ἀνθυλλίτης διὰ τὸν τύπον. Ἀργάντη πόλις Ἰνδίας. τὸ ἐθνικὸν ἔδει Ἀργανταῖος, ἀλλὰ ὁ τύπος τῶν Ἰνδῶν ἢ Ἀργαντηνός ἢ Ἀργαντίτη ς. Ἄρρα πόλις Ἰλλυρική. τὸ ἐθνικὸν Ἀρραῖο ς. καὶ γὰρ ὁ τύπος συνήθης, ὡς Πελλαῖος καὶ Βεροιαῖος. Ἀρταία Περσικὴ χώρα. οἱ οἰκοῦντες Ἀρταῖο ι. ἀρταίους δὲ Πέρσαι, ὥσπερ οἱ Ἕλληνες τοὺς παλαιοὺς ἀνθρώπους, ἥρωας καλοῦσι. τάχα δὲ καὶ ἐντεῦθέν μοι δοκεῖ Ἀρταξέρξαι καὶ Ἀρτάβαζοι, ὥσπερ ἐν Αἰγυπτίοις καὶ Νειλάμμωνες καὶ Παναπόλλωνες. Ἡρόδοτος Ἀρτεάτας αὐτοὺς καλεῖ διὰ τοῦ ε ψιλοῦ. Ἀσίνη. τὸ ἐθνικὸν Ἀσιναῖος καὶ Ἀσινεύς, καθὼς Εὔδοξος ἐν ἕκτῃ γῆς περιόδου. Βάρκη πόλις Λιβύης. τὸ ἐθνικὸν Βαρκαῖος καὶ Βαρκαῖον τὸν Λίβυν φασί. «Βαρκαῖον αἶπος»· οἳ τὰς ἱπποτροφίας παρὰ Ποσειδῶνος, ἡνιοχεῖν δὲ παρὰ Ἀθηνᾶς ἔμαθον. Βάτναι πόλις τῆς Ὀσροηνῆς. τὸ ἐθνικὸν Βατναῖος καὶ διὰ τὸν χαρακτῆρα Βατνηνός ὡς Ἐδεσσαῖος Ἐδεσσηνός καὶ Καρραῖος Καρρηνός. Βέννα μία φυλὴ τῶν ἐν Ἐφέσῳ πέντε, ἧς οἱ φυλέται Βενναῖοι, ὡς Ἔφορος.

3,2 873 Βοῦρα πόλις Ἀχαΐας. τὸ ἐθνικὸν Βουραῖο ς. Λυκόφρων (v. 591) «Δύμη τε Βουραίοισιν ἡγεμὼν στόλου». Γάζα. ὁ πολίτης Γαζαῖο ς. λέγονται καὶ Γαζηνοί παραλόγως ὡς Παυσανίας. λέγονται καὶ Γαζῖται παρὰ τοῖς ἐγχωρίοις. καὶ οἱ κέραμοι λέγονται Γαζῖται. καί ἐστιν ὅμοιον τῷ Αἰγινῆται καὶ Αἰγιναῖοι κατὰ τὴν διαφοράν, ἐναντίον δὲ τὸ τῶν τύπων· οἱ μὲν γὰρ πολῖται Αἰγινῆται καὶ Γαζαῖοι, οἱ δὲ κέραμοι Γαζῖται καὶ Αἰγιναῖοι. εἰσὶ καὶ διὰ τοῦ η ἔθνος Γαλατῶν χρυσοφοροῦν, ὡς Εὐφορίων. λέγονται καὶ διὰ τοῦ α Γαζᾶται, ὡς πολυίστωρ. Γαλάδραι πόλις Μακεδονίας. ὁ πολίτης Γαλαδραῖο ς. Λυκόφρων «καὶ Γαλαδραῖον πέδον» (v. 1342). Γενέση πόλις Λακωνικῆς. τὸ ἐθνικὸν Γενεσαῖος ὡς Τεμεσαῖος. ἄμεινον δὲ διὰ τὴν χώραν Γενεσάτη ς. Δεξαμεναί μέρος τῆς Ἀμβρακίας. τὸ ἐθνικὸν Δεξαμεναῖος, ὡς Ἀριστοτέλης φησὶν ἐν τῇ Ἀμβρακιωτῶν πολιτείᾳ. Δίνδυμα ὄρη τῆς Τρωάδος. τὸ ἐθνικὸν Δινδυμαῖος καὶ Δινδυμναῖο ς. εἴη δ’ ἂν καὶ Δινδυμηνός, ὅτι καὶ τὴν θεὸν Δινδυμήνην λέγουσι. Δολίχη νῆσος πρὸς τῇ Λυκίᾳ καὶ πόλις τῆς Κομμαγηνῆς. τὸ ἐθνικὸν Δολιχαῖος Ζεύς. οἱ δ’ ἐπιχώριοι Δολιχηνοί λέγουσι· τῆς δὲ Λυκιακῆς Δολίχης Δολιχεύ ς. ὁ γὰρ τύπος συνήθης τοῖς Λυκίοις, τῆς δὲ Δολιχίστης Δολιχιστεύς. Δύμη πόλις Ἀχαΐας. ὁ πολίτης Δυμαῖο ς. Ἔφορος κδʹ «παραγινομένης δὲ τῆς στρατιᾶς εἰς τὴν Δύμην, πρῶτον μὲν οἱ Δυμαῖοι καταπλαγέντες». καὶ Παυσανίας ζʹ (17, 6) «Οἰβώτᾳ ἀνδρὶ Δυμαίῳ σταδίου μὲν ἀνελομένῳ νίκην» καὶ πάλιν (17, 9) «Δυμαίοις μέν ἐστιν Ἀθηνᾶς ναὸς καὶ ἄγαλμα». καὶ ἐν τῷ ηʹ (1, 2) «τὰ δὲ πρὸς Ἀχαΐαν Δυμαίων εἰσὶν ὅμοροι». καὶ Ἀπολλόδωρος ἢ ὁ τὰ τούτου ἐπιτεμνόμενος «τὴν δὲ χώραν ἔχουσι Δυμαῖοι». καὶ Φίλιστος Σικελικῶν αʹ «ἐπὶ τῆς ὀλυμπιάδος ἣν Οἰβώτας ὁ Δυμαῖος ἐνίκα στάδιον». καὶ Ἀπολλόδωρος ἐν χρονικῶν αʹ «πόλεμος ἐνέστη τοῖς τε Δυμαίοις ὅθεν …» καὶ Θεόπομπος μʹ «προστάται δὲ τῆς πόλεως ἦσαν τῶν μὲν Συρακοσίων Ἄθηνις καὶ Ἡρακλείδης, τῶν δὲ μισθοφόρων Ἀρχέλαος ὁ Δυμαῖος». τὸ θηλυκὸν Δυμαία. Εὐφορίων «ἤ τις ἔχεις κληῖδας ἐπιζεφύροιο Δυμαίης» διὰ τὸ πρὸς δύσιν ἐπιζέφυρον κεῖσθαι λέγων. λέγεται καὶ Δύμιος ὡς Βοίβη Βοίβιος. Ἀντίμαχος ἐν εʹ Θηβαΐδος ἐν δέ νυ τοῖσι μάλα πρόφρων ἐπίκουρος ἀμορβέων ὠμίλης’, εἵως διεπέρσατε Δύμιον ἄστυ. Δωδώνη. τῆς Δωδώνης τὸ ἐθνικὸν Δωδωναῖο ς. Ἑκαταῖος Εὐρώπῃ «Μολοσσῶν πρὸς μεσημβρίης οἰκέουσι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Δωδωναῖοι». καὶ Ὅμηρος «Ζεῦ ἄνα Δωδωναῖε» (Π 233) καὶ Κρατῖνος Ἀρχιλόχοις (Com. ed. Mein.

3,2 874 II 20) «Δωδωναίῳ κυνὶ βωλοκόπῳ, τίτθη, γεράνῳ προσέοικας». Ἀπολλόδωρος δὲ ἐν α′ περὶ θεῶν τὸν Δωδωναῖον οὗτος ἐτυμολογεῖ «καθάπερ οἱ τὸν Δία Δωδωναῖον μὲν καλοῦντες ὅτι δίδωσιν ἡμῖν τὰ ἀγαθά, Πελασγικὸν δὲ ὅτι τῆς γῆς πέλας ἐστίν». Ἑλένη νῆσος τῆς Ἀττικῆς. τὸ ἐθνικὸν Ἑλεναῖος ὡς Κασμεναῖος ἢ Ἑλενίτης ἢ Ἑλένειο ς. Ἐπιπολαί χωρίον προσεχὲς Συρακούσαις. τὸ ἐθνικὸν Ἐπιπολαῖος τῷ κοινῷ τύπῳ. Ἐρυσίχη πόλις Ἀκαρνανίας. τὸ ἐθνικὸν Ἐρυσιχαῖος, περὶ οὗ Ἡρωδιανός φησιν ὅτι σεσημαίωται τὸ Ἐρυσίχαιος προπαροξυνόμενον ἐν τοῖς ἐθνικοῖς. μήποτε οὖν τὸ χαῖον ἐγκεῖσθαι, ὅ ἐστιν ἡ βουκολικὴ ῥάβδος καὶ τὸν ἐρύσω μέλλοντα. διχῶς οὖν ἔσται, ὥς ἐστι δῆλον παρ’ Ἀλκμᾶνι ἐν ἀρχῇ τοῦ δευτέρου τῶν παρθενείων ᾀσμάτων· φησὶ γάρ οὐκ ἧς ἀνὴρ ἄγροικος οὐδέ σκαιὸς οὐδὲ παρὰ συφοῖσιν, οὐδὲ Θεσσαλὸς γένος, οὐδ’ Ἐρυσιχαῖος οὐδὲ ποιμήν. εἰ γὰρ τῷ «Θεσσαλὸς γένος» συναπτέον, ἐθνικόν ἐστι καὶ προπερισπάσθω. Εὐθηναί πόλις Καρίας. τὸ ἐθνικὸν καθ’ ἡμᾶς Εὐθηναῖος, κατ’ ἐκείνους δὲ Εὐθηνεύ ς. Πολέμων δὲ καὶ Εὐθηνίτας φησίν. Ἐχῖναι νῆσοι περὶ τὴν Αἰτωλίαν. λέγονται καὶ Ἐχινάδες. τὸ ἐθνικὸν τοῦ Ἐχῖναι Ἐχιναῖος, τοῦ δ’ Ἐχινάδες Ἐχιναδεύς ὡς Ἀρκαδεύς ἢ Ἐχινάδιο ς. Ἐχῖνος πόλις Ἀκαρνανίας. ὁ πολίτης Ἐχιναῖος ὡς χέρσος χερσαῖος, Ἄπρος Ἀπραῖος, Κύφος Κυφαῖος. καὶ ἀπὸ τοῦ Ἐχιναῖος Ἐχιναιεύς ὡς Κρηταῖος Κρηταιεύς. Θύμβρα πόλις Τρῳάδος. Ἀπόλλων Θυμβραῖο ς. λέγεται καὶ διὰ τοῦ ζ Ζυμβραῖο ς. λέγεται καὶ Θύμβριο ς. Ἑλλάνικος δὲ Δύμβριός φησι διὰ τοῦ δ καὶ Δυμβριεύ ς. Ἰθώμη πόλις Μεσσήνης. τὸ ἐθνικὸν Ἰθωμαῖος καὶ Ἰθωμήτης διὰ τοῦ η καὶ Δωρικῇ τροπῇ Ἰθωμάτας, ἀφ’ οὗ ὁ πολίτης Ἰθωμάτας καὶ Ζεὺς Ἰθωμάτας. Ἰτέα δῆμος. ὁ δημότης Ἰτεαῖο ς. Ἀνδροτίων δὲ τρισυλλάβως ἔφη. Κάλυδνα νῆσος. ὁ πολίτης Καλυδναῖος καὶ Καλυδνεὺς ὁ Ἀπόλλων καὶ Καλύδνιος, ὡς Ἀνδροτίων ἕκτῃ Ἀτθίδος. Καρήνη πόλις Μυσίας. τὸ ἐθνικὸν Καρηναῖος, ὡς Κρατερὸς γ′ περὶ ψηφισμάτων «Γρυνεῖς Πιταναῖοι Καρηναῖοι». Κορόπη πόλις Θεσσαλίας. ὁ πολίτης Κοροπαῖο ς. Νίκανδρος ἐν Θηριακοῖς (613) «ᾗ ἐν Ἀπόλλων μαντείας Κοροπαῖος ἐθήκατο καὶ θέμιν ἀνδρῶν». λέγεται δὲ κατ’ ἔλλειψιν τοῦ κ Ὀροπαῖο ς. Κρῆσσα πόλις Παφλαγονίας. Δημοσθένης γράφει .... τὸ ἐθνικὸν Κρησσαῖο ς.

3,2 875 Κρηστώνη πόλις Θρᾴκης. ὁ πολίτης Κρηστωναῖος παρὰ Πινδάρῳ. Ῥιανὸς δὲ Κρηστωνίους αὐτούς φησιν. Ἑκαταῖος δὲ Κρηστῶνας αὐτοὺς ἐν Εὐρώπῃ. Κύφος πόλις Περραιβίας. ὁ πολίτης Κυφαῖο ς. Λυκόφρων (n. 897) «ἐν ᾧ Κυφαίων δύσμορον στρατηλάτην». Λάμπη πόλις Κρήτης. τὸ ἐθνικὸν Λαμπαῖο ς. Κλαύδιος δὲ Ἰούλιος Λαμπέας αὐτούς φησι. Λῆνος χωρίον τῶν Πισατῶν. ὁ πολίτης Ληναῖο ς. Φλέγων μη′ ὀλυμπιάδι. Λίγγος φρούριον Κασσανδρέων. τὸ ἐθνικὸν Λιγγαῖο ς. Ἀπολλόδωρος ἐν χρονικῶν τρίτῳ. ἔστι δὲ καὶ Λίγγιος καὶ Λίγγιος κόλπος. Λίμναι πόλις ἐν Ἑλλησπόντῳ, ἔνθα ὁ Διόνυσος ἐτιμᾶτο· Καλλίμαχος « Λιμναίῳ δὲ χοροστάδας ἦγον ἑορτάς». Λογγώνη Σικελίας πόλις. ὁ πολίτης Λογγωναῖο ς. Φίλιστος δεκάτῳ. Νακόνη πόλις Σικελίας. τὸ ἐθνικὸν Νακοναῖο ς. Φίλιστος ἕκτῳ Σικελικῶν. Νεῖλος πόλις Αἰγύπτου. τὸ ἐθνικὸν τῆς πόλεως Νειλοπολίτη ς. εἰ δὲ ἡ πόλις μόνη κέκληται, ὀφείλει ἔπεσθαι τῷ κτητικῷ τοῦ ποταμοῦ Νειλαῖος, ὡς Ἀπολλώνιός φησιν «ὅσα γὰρ τῶν κτητικῶν παράγεται διὰ τοῦ ι ἢ παρὰ τὴν γενικὴν τοῦ πρωτοτύπου ἢ τὴν εὐθεῖαν, ταῦτα μόνον διὰ τοῦ ι ἐκφέρεται, Ποσειδώνιος, Ἑλικώνιος, Σάκιος. τὰ δὲ φύσει μακρᾷ ἢ διφθόγγῳ παραληγόμενα οὐδέποτε τὸ προκείμενον σχῆμα ἀποτελεῖ. οὐδὲ γὰρ τὸ κηπαῖος καὶ Νηλαῖος ἐθνικὸν αὐτὸ ἀναλόγως παραλαμβάνει». Νίψα πόλις Θρᾴκης. ὁ πολίτης Νιψαῖο ς. Ἡρόδοτος τετάρτῃ (c. 93). Νόαι πόλις Σικελίας. τὸ ἐθνικὸν Νοαῖο ς. ὁ τύπος γὰρ οὐκ ἀήθης αὐτοῖς. Ἀπολλόδωρος δευτέρῳ χρονικῶν. Νώνυμνα πόλις Σικελίας. ὁ πολίτης Νωνυμναῖος ὡς Φίλιστος. Ξιφήνη χώρα Παλαιστίνης. Ἰώσηπος ἕκτῳ Ἰουδαϊκῆς ἱστορίας (c. 13) τὸ ἐθνικὸν Ξιφηναῖός φησι. Οἰνώνη νῆσος τῶν Αἰακιδῶν. οἱ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἰκήτορες Οἰνωναῖοι, ὡς Παρθένιος Ἡρακλεῖ. Οἴτη ὄρος περὶ Τραχῖνα. οἱ οἰκοῦντες Οἰταῖο ι. Σοφοκλῆς (Philoct. 453) «ἐγὼ μὲν ὦ γένεθλον Οἰταίου πατρός». Σκέμψα πόλις Θρᾴκης. τὸ ἐθνικὸν Σκεμψαῖος καὶ « Σκέμψιοι, Δαυνιοτειχῖται». Σκίθαι πόλις Θρᾴκης. ὁ πολίτης Σκιθαῖος, ὥς φησι Θεόπομπος. Στῆλαι πόλις Κρήτης. τὸ ἐθνικὸν Στηλαῖος ὡς Λάμπη Λαμπαῖος. ἀλλὰ καὶ Στηλίτης ὡς παρὰ τὸ ἄγαλμα ἢ τὸν λίθον, ἀφ' οὗ τὸ στηλιτεύω. Στράμβαι πόλις Θρᾴκης. τὸ ἐθνικὸν «Σταγειρῖται, Στραμβαῖο ι».

3,2 876 Συκαί. ὁ πολίτης ὤφειλε Συκαῖο ς. ἔστι δὲ νῦν Συκαΐτης, ὅπερ ἐστὶν ἀπὸ τῆς Συκαῖος ὡς Θηβαῖος Θηβαΐτης. Τραγασαί χωρίον ἐν ἠπείρῳ. ὁ οἰκήτωρ Τραγασαῖο ς. Ἀριστοφάνης Ἀχαρνεῦσι (v. 853). Τυρόδιζα πόλις Θρᾴκης. τὸ ἐθνικὸν ἔδει Τυροδιζαῖος ὡς Γαζαῖος. νῦν δὲ Τυροδιζηνοί λέγονται ὡς Κρατερὸς ἐν θʹ περὶ ψηφισμάτων. Φαλάκραι ἄκρα τῆς Ἴδης. ὁ ἐκ τόπου Φαλακραῖο ς. Λυκόφρων (1170) «στερρὰν κύβηλιν ἢ Φαλακραῖον κλάδον» καὶ θηλυκῶς «Φαλακραῖοι κόραι» (Lycophr. 24) καὶ οὐδέτερον. Φιδήνη πόλις Ἀλβανῶν. τὸ ἐθνικὸν Φιδηναῖο ς. ἔοικε καὶ Φίδηνα λέγεσθαι ὡς Ῥάβεννα καὶ Φιδηνάτης ὡς Ῥαβεννάτης· οὕτω γὰρ Χάραξ ιβʹ κέχρηται Φιδηνάτης. Χάλαστρα πόλις Θρᾴκης. ὁ πολίτης Χαλαστραῖο ς. Λυκόφρων (1441) «Θεσπρωτὸς ἄμφω καὶ Χαλαστραῖος λέων». Χάραδρα πόλις Φωκίδος. τὸ ἐθνικὸν Χαραδραῖο ς. ἐπάγει γὰρ Χαραδραίοις (Pausan. X 33, 3). Περὶ τῶν εἰς ιος . Ἀγησσός πόλις Θρᾴκης. τὸ ἐθνικὸν Ἀγήσσιος ὡς [Ἀσσήσιος] Ταρτήσσιος. ἢ Ἀγασσίτης ὡς Ὀδησσίτης διὰ τὸ ὁμοεθνές. Ἀγκύριον πόλις Ἰταλίας. δύναται ὁ πολίτης Ἀγκύριος ὡς Βυζάντιος ἢ Ἀγκυριεύς ὡς Κιτιεύς, Δουλιχιεύς, Σιγριεύς, σουνιεύς. ἀλλ' ἄμεινον διὰ τὸ τῆς χώρας ἔθος Ἀγκυριανός ὡς Ἀδριανός, εἰ μὴ ὡς παρὰ τὸ Ῥήγιον Ῥηγῖνος, Μεταπόντιον Μεταποντῖνος. Ἰταλοὶ γὰρ μάλιστα τούτῳ φιληδοῦσι τῷ τύπῳ. Ἀγκών πόλις Πικεντίνων. τὸ ἐθνικὸν Ἀγκώνιος ὡς Ἀντρώνιος ὄνος ἡ παροιμία, Καλυδώνιος. λέγεται δὲ καὶ Ἀγκωνίτης ὡς Ἀρτεμίδωρος. Ἀγνοῦς δῆμος. ὁ δημότης Ἀγνούσιος ὡς Ῥαμνούσιος. ἀπὸ γενικῆς προσόδῳ τοῦ ι τοῦ τ φυλασσομένου, ὡς ἐν τῷ Σελινούντιος, Ὀπούντιος, Ἱεριχούντιος, τρεπομένου δὲ εἰς ς καὶ τοῦ πρὸ αὐτοῦ ν ὑφαιρουμένου, Ἁλιμούσιος, Φηγούσιος. διακρίνεται ἡ τροπὴ τῷ ἀδιαιρέτῳ τοῦ πρωτοτύπου, ὅπερ Ἀττικοὶ φιλοῦσι. παρ' αὐτοῖς γὰρ οὐ λέγεται Ἀγνόεις ἢ Φηγόεις ἢ Μυρρινόεις. ὅθεν οὐδὲ διὰ τοῦ τ λέγεται Σιμούντιος, ἀλλὰ διὰ τοῦ ς μετὰ τῆς ὑφέσεως τοῦ ν . τὸ δὲ Σιμοῦς Σιμόεις διαιρεῖται καὶ Ὀποῦς Ὀπόεις. τάχα δὲ καὶ τὰ δοκοῦντα διαιρεῖσθαι κυριώτερα καθέστηκεν, ὅθεν μετὰ τοῦ τ λέγεται Σιμούντιος. οὐ γὰρ Ἀττικὰ ταῦτα. Ἀδρανόν πόλις Σικελίας. λέγεται καὶ ἀρσενικῶς. ὁ πολίτης Ἀδράνιο ς. Ἀπολλόδωρος δὲ Ἀδρανίτας φησὶ τὸ ἐθνικόν.

3,2 877 Αἰγίλιψ. τὸ ἐθνικὸν Αἰγιλίπιος ὡς Κίνυφος Κινύφιος, Ἄραβος Ἀράβιος, Φρυγός Φρύγιος καὶ τῶν ὁμοίων. Αἴγυπτος. τὸ ἐθνικὸν Αἰγύπτιο ς. ὡς ἔχει τὸ ἰαμβεῖον «δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι». Ἀκέλης, Ἀκέλητος πόλις Λυδίας. οἱ πολῖται Ἀκέλητε ς . Ἡρωδιανὸς δ ' Ἀκελήσιός φησιν ὡς Μενδήσιος. Ἀκυληΐα πόλις Ἰταλίας. τὸ ἐθνικὸν Ἀκυλήϊος ὡς Μεσσαπία Μεσσάπιος, Λευτερνία Λευτέρνιος καὶ Λυκία Λύκιος. λέγεται καὶ Ἀκυλεήσιος Ἰταλικῷ τύπῳ. Ἀμάρυνθος νῆσος Εὐβοίας. τὸ ἐθνικὸν Ἀμαρύνθιος καὶ Ἀμαρύσιος ὡς Τρικορύσιος. οὕτω γὰρ Παυσανίας ἐν πρώτῃ (31, 5). ἀναλογώτερον δέ μοι δοκεῖ τὸ διὰ τοῦ ς . Ἄμφρυσος πόλις Φωκίδος. τὸ ἐθνικὸν Ἀμφρύσιος, ὡς Λυκόφρων (v. 900) «Ἀμφρυσίων σκηπτοῦχον Εὐρυαμπίων». ἔστι καὶ Ἀμφρυσεύ ς. Ἀναγυροῦς δῆμος. ὁ δημότης Ἀναγυρουντόθεν· λέγεται καὶ Ἀναγυράσιο ς. ἐζήτηται δὲ πῶς ἔχει τὸ α , ἔδει γὰρ ὡς Ῥαμνούσιος. ἀλλ' ἔοικε τὸ ρ αἴτιον εἶναι, φιληδοῦν τῇ συντάξει τοῦ α . Ἀπαισός. Παῖσος πόλις τῆς Δαυνίας, ἧς τὸ ἐθνικὸν Παίσιος ὡς Ῥωσοῦ Ῥώσιος ἢ ὅπερ ἄμεινον Παισῖνος, διὰ τοῦ ι καὶ προπερισπωμένως τῷ ἔθει τῆς χώρας. τῆς δὲ Ἀπαισός πόλεως κατὰ τὴν Τρωάδα Ἀπαισηνό ς. Ἀρία Περσικὴ χώρα ὡς Ἑλλάνικος. τὸ ἐθνικὸν Ἄριο ι, ὡς αὐτός φησι, καὶ Ἀριεύ ς. Ἀρμενία χώρα. οἱ οἰκήτορες Ἀρμένιοι ὡς Εὔδοξος πρώτῃ γῆς περιόδου «Ἀρμένιοι δὲ τὸ μὲν γένος ἐκ Φρυγίας καὶ τῇ φωνῇ πολλὰ φρυγίζουσι. παρέχονται δὲ λίθον τὴν γλύφουσαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ τρυπῶσαν τὰς σφραγῖδας». καὶ Ἀρμενία τὸ θηλυκὸν παρὰ Ξενοφῶντι. Ἄσβωτος πόλις
Θεσσαλίας. τὸ ἐθνικὸν Ἀσβώτιο ς. Εὐφορίων Θρᾳκί τὸν μὲν ἄρ' ἐκ φλοίσβου Ἀσβώτιοι ὦκα
φέροντες ὑστάτιον ῥώσαντο κονισαλέῃσιν ἐθείραις ἵπποι καλὰ νάουσαν ἐπορνύμενοι
Φυσάδειαν. περὶ τῶν ἵππων Ἀμφιαράου. Ἄσπενδος. ὁ πολίτης Ἀσπένδιο ς. Θεόπομπος τετάρτῃ
Ἑλληνικῶν «ἀποτυχὼν δὲ τῶν Ἀσπενδίων». Ἀσσησός πόλις Μιλησίας γῆς. ὁ οἰκήτωρ Ἀσσήσιο
ς. καὶ Ἀσσησία Ἀθηνᾶ παρ' Ἡροδότῳ (I 19). Αὐενιών πόλις Μασσαλίας. τὸ ἐθνικὸν
Αὐενιωνήσιος τῷ ἐπιχωρίῳ καὶ Αὐενιωνίτης τῷ Ἕλληνι τύπῳ. Αὐσών ὁ Ἰταλός—καὶ Αὐσόνιος
καὶ Αὐσονία ἡ χώρα, ἀφ' οὗ Αὐσονιεύ ς. καὶ Αὐσόνειος, Λυκόφρων (1047) «ὁ δ' Αὐσονείων
3,2 878 ἄγχι Κάλχαντος τόπων». καὶ Αὐσονίτης, ὁ αὐτός (593) «παρ' Αὐσονίτην Φύλαμον δομήσεται».
καὶ Αὐσονῖτις θηλυκὸν καὶ Αὐσόνιος κτητικόν. Ἀχραδοῦς δῆμος. ὁ δημότης Ἀχραδούσιο ς.
Ἀριστοφάνης Ἐκκλησιαζούσαις (361) «νῦν μὲν γὰρ οὗτος βεβαλάνωκε τὴν θύραν, ὅστις πότ'
ἐστ' ἅνθρωπος Ἀχραδούσιος», ἀντὶ τοῦ Ἀχερδούσιος. Βηρυτός πόλις Φοινίκης. ὁ πολίτης
Βηρύτιος ὡς Αἰζώτιος Αἰγύπτιος. σεσημείωται τὸ Μιλήσιος ἐν τοῖς τοπικοῖς, ὅτι ἐτράπη ὡς τὸ
Θεοδόσιος Ἀθανάσιος Ἀμβρόσιος. τὸ γὰρ θεόδοτος καὶ ἀθάνατος καὶ ἄμβροτος σύνθετα. τὸ δὲ
χαρίσιος οὐ τοπικόν. Βίεννος πόλις Κρήτης. ὁ πολίτης Βιέννιος «οἱ δὲ τιμὰς ἀποπέμπειν τῷ τε
μιλίῳ Διῒ καὶ Βιεννίῳ». ἔστι καὶ ἑτέρα πόλις ἐν Γαλλίᾳ τὸ ἐθνικὸν ὁμοίως Βιέννιος, εἰ μὴ κατὰ
τὸν ἐγχώριον τύπον Βιεννήσιος ὡς Λουγδουνήσιος. τῆς δὲ Βιέννης Βιενναῖο ς. Βολισσός. τὸ
ἐθνικὸν τῇ τέχνῃ Βολίσσιος ὡς Λυρνήσσιος, Βολισσεύς ὡς Ἁλικαρνασσεύς καὶ Βολισσίτης ὡς
Ὀδησσίτης. χρηστέον δὲ τῷ προτέρῳ διὰ τὸ σύνηθες. Βουβών πόλις Λυκίας. ὁ πολίτης ὤφειλε
Βουβώνιος, εἴρηται δὲ Βουβωνεύ ς. χαίρουσι γὰρ οἱ Λύκιοι τῷ τύπῳ. Βοῦννος πόλις Ἰλλυρίας.
τὸ ἐθνικὸν Βούννιος, ὡς Ἀρτεμίδωρος ἐν πρώτῃ γεωγραφουμένων. Βρέττος πόλις Τυρρηνῶν.
οἱ οἰκοῦντες Βρέττιοι καὶ ἡ χώρα Βρεττία καὶ ἡ γλῶσσα. Ἀριστοφάνης «μέλαινα δεινὴ γλῶσσα
Βρεττία παρῆν». Βυβασσός πόλις Καρίας. τὸ ἐθνικὸν Βυβάσσιο ς. Ἔφορος δὲ Βύβαστόν φησι καὶ
Βυβάστιο ν. Βύβλος πόλις Φοινίκης. τὸ ἐθνικὸν Βύβλιος ἢ Βυβλίτης τῷ τύπῳ τῷ Αἰγυπτιακῷ.
Βυζάντιον. τὸ ἐθνικὸν ἀπὸ τοῦ Βύζας Βυζάντιος διὰ τοῦ ι , τὸ δὲ κτητικὸν διὰ διφθόγγου. τὸ δὲ
Βυζάντιος ἐθνικὸν τριγενές. ἀπὸ δὲ τοῦ Βυζάντιος Βυζαντία Βυζαντιανός καὶ Βυζαντειανός δεῖ
διφθόγγου ὡς Ἡρακλειανός. ἔστι γὰρ καὶ Βυζάντεια διὰ διφθόγγου ἐπὶ τῆς χώρας. Βόσπορος.
τὸ ἐθνικὸν Βοσπόριος καὶ Βοσποριανός καὶ Βοσπορανός καὶ Βοσπορηνό ς. διχῶς γὰρ καὶ διὰ
τοῦ α καὶ διὰ τοῦ η ὡς Τιβαρανός καὶ Τιβαρηνός. Ἔφορος ἐν πέμπτῳ «Τιβαρηνοὶ καὶ τὸ παίζειν
καὶ τὸ γελᾶν εἰσιν ἐζηλωκότες καὶ μεγίστην εὐδαιμονίαν τοῦτο νομίζουσιν. ὅμοροι δὲ τούτοις
Χάλυβες καὶ τὸ τῶν Λευκοσύρων ἔθνος». Γέα πόλις ἐν Ἀραβίᾳ. τὸ ἐθνικὸν Γεΐο ς. κατὰ
ἀναλογίαν δ' ἔδει Γεάτης ὡς Τεγεάτης. Γέργις Γέργιθος πόλις Τροίας. λέγεται καὶ ἡ Γέργιθος. ὁ
πολίτης Γεργίθιο ς. ἔστι καὶ ἄλλο Γεργίτη ς. ἔστι καὶ Γεργιθεύ ς.

3,2 879 Γρησῖνος πόλις Χερρονήσου. τὸ ἐθνικὸν Γρησίνιος, ὡς Ἀνδροτίων ἕκτῳ Ἀτθίδος. Δαύνιον πόλις
Ἰταλίας. τὸ ἐθνικὸν Δαύνιοι καὶ Δαυνῖται κατὰ συγκοπὴν ἀπὸ τοῦ Δαυνιᾶται. Δῆλος. Δήλιο ς.
καὶ Δηλίτης ὁ εἰς Δῆλον ἐρχόμενος χορός, Καλλίμαχος τρίτῳ. Δριλώνιος πόλις Κελτική. τὸ
ἐθνικὸν Δριλώνιος ὡς Θεόπομπος μγ'. Δρυμία πόλις Φωκίδος. Παυσανίας ι' (c. 33, 12)
«Δήμητρος δὲ θεσμοφόρου Δρυμίοις ἱερόν ἐστιν ἀρχαῖον». τὸ ἐθνικὸν Δρυμιεύς ἐκ τοῦ θηλυκοῦ
καὶ τοῦ οὐδετέρου. Δυρράχιον πόλις Ἰλλυρική. λέγεται καὶ ἡ χώρα τῆς Ἰλλυρίας Δυρραχία.
Εὐφορίων «ἄστεα Δυρραχίης τε καὶ ἔθνεα Ταυλαντίνων». καὶ δῆλον ὅτι Δυρράχιος τὸ τούτου
ἀρσενικόν, ὡς τοῦ Ἀνακτόριον τὸ Ἀνακτόριος, Βυζάντιον Βυζάντιος, Θούριον Θούριος,
Κούριον Κούριος. ὅμως δὲ νῦν Δυρραχηνοί λέγονται. οὕτω γὰρ καὶ Βάλακρος ἐν Μακεδονικοῖς
φησι «καὶ τούτων αἱ πόλεις Δυρραχηνοῖς τε καὶ Ἀπολλωνιάταις ἐπιδιῄρηνται». καὶ Ἑρέννιος
Φίλων ἐν τοῖς Ἰατρικοῖς «Ἀσκληπιάδης ἀκουστὰς ἔσχε Τίτον Αὐφίδιον Σικελὸν καὶ Φιλωνίδην
Δυρραχηνὸν καὶ Νίκωνα Ἀκραγαντῖνον». καὶ πάλιν «Φιλωνίδης δὲ ὁ Δυρραχηνὸς ἤκουσε μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀσκληπιάδου, ἰατρεύσας δὲ ἐν τῇ πατρίδι ἐνδόξως συνετάξατο βιβλία με′». Δώριον πόλις. τὸ ἐθνικὸν Δώριος καὶ Δωριεύς καὶ Δωριά ν. Ἑλίκη πόλις Πελοποννήσου. ὁ πολίτης Ἑλικώνιος ἀπὸ τοῦ κτιστοῦ Ἑλικῶνος. ἴσως δὲ τοῦτο ἀπὸ τοῦ ὄρους γέγονεν. ἔστω οὖν Ἑλικεύς ἢ Ἑλικωνίτη ς. ἴσως ἀπὸ τοῦ Ἑλικώνιος. ἢ Ἑλικήσιο ι. Ἐπίδαμνος πόλις Ἰλλυρίας. τὸ ἐθνικὸν Ἐπιδάμνιο ς. εὕρηται παρὰ Παρθενίῳ καὶ διὰ διφθόγγου. Ἐπίδαυρος πόλις πρὸς τῷ Ἄργει. ὁ πολίτης Ἐπιδαύριο ς. καὶ Ἐπιδαυριώτης φασίν. Εὐρύαμπος πόλις Μαγνησίας. ὁ πολίτης Εὐρυάμπιο ς. Λυκόφρων (900) «Ἀμφρυσίων σκηπτοῦχον Εὐρυάμπιον». Εὐρυμέδων ποταμὸς Παμφυλίας. τὸ ἐθνικὸν Εὐρυμεδόντιο ς. ἀπὸ δὲ Εὐρυμηδοῦντος Εὐρυμηδούντιο ς. Ἔφεσος. τὸ ἐθνικὸν Ἐφέσιο ς. εὕρηται καὶ Ἐφέσεια διὰ διφθόγγου. οὕτω γὰρ ἐν Ἀλεξάνδρῳ Σοφοκλῆς. λέγεται καὶ Ἐφεσίτης, ὡς Ἅβρων φησί, καὶ Ἐφεσεύς ὡς Ταρσός Ταρσεύς, Ἁλικαρνασσός Ἁλικαρνασσεύς. Ζάρηξ πόλις Λακωνική. τὸ ἐθνικὸν Ζαρήκιος ἀπὸ τῆς γενικῆς ὡς Θρᾴκιος. Ἠσσός πόλις Λοκρίδος. τὸ ἐθνικὸν Ἤσσιο ς. Θουκυδίδης τρίτῃ (101). Θράμβος ἀκρωτήριον Μακεδονίας. τὸ τοπικὸν Θραμβούσιο ς. ὁ γὰρ διὰ τοῦ σιος τύπος δύο συλλαβαῖς, εἰ μή τις βραχεῖα παραγωγὴ γέ-

3,2 880 νοιτο, τοῦ πρωτοτύπου περιττεύει. σεσημείωται τὸ Περκώσιος καὶ Κριθώσιος ἀπὸ τοῦ Περκώτη καὶ Κριθώτη. Θριοῦς πόλις Ἠλείας. τὸ ἐθνικὸν Θριούντιος καὶ Θριάσιο ς. Ἰθάκη νῆσος. τὸ ἐθνικὸν Ἰθακήσιος καὶ « Ἴθακος Ὀδυσσεύς» ὁμοφώνως τῷ οἰκιστῇ. Ἴκαρος νῆσος. ὁ πολίτης Ἰκάριος «πόντου Ἰκαρίοιο» (B 145). Ἰξίαι χωρίον τῆς Ῥόδου. Ἴξιος Ἀπόλλων ὡς Ἀρτεμίδωρος δεκάτῳ γεωγραφουμένων. Ἱστός νῆσος Λιβύης. τὸ ἐθνικὸν Ἵστιος τῷ λόγῳ τῶν εἰς ος δισυλλάβων ἐπὶ νήσων Ἴμβριος, Ἄνδριος. Καβελλιών πόλις Μασσαλίας. τὸ ἐθνικὸν κατὰ τὸν ἐπιχώριον τύπον Καβελλιωνήσιος ὡς Ταρρακωνήσιος, κατὰ δὲ τὸν Ἑλληνικὸν Καβελλιωνίτης ὡς Ταρρακωνίτης. Καοῦς κώμη Ἀρκαδίας. ὁ πολίτης Καούσιο ς. ἐκεῖ γὰρ οὕτως Ἀσκληπιὸς τιμᾶται Καούσιος, ὡς Παυσανίας ὀγδόῳ (25, 1). Καρία. Κάρ. λέγεται καὶ Κάριος καὶ Καριάτη ς. Κάρυστος πόλις Εὐβοίας. τὸ ἐθνικὸν Καρύστιος «ἐν ᾧ τὸ λατόμιον τῶν Καρυστίων κιόνων». Κάστνιον ὄρος τῆς Παμφυλίας. τὸ ἐθνικὸν Κάστνιος καὶ Κάστνιον, ἐξ οὗ καὶ Καστνιήτη ς. ἔδει δὲ Καστνιώτης ὡς Πηλιώτης. Κόριον τόπος ἐν Κρήτῃ ἀπὸ κόρης τινός. ὁ πολίτης Κορήσιο ς. καὶ Ἀθηνᾶς ἱερὸν Κορησίας. ταῦτα δὲ ἀπὸ τοῦ κόρη γέγονεν. ἀπὸ δὲ τοῦ Κόριον τὸ ἀνάλογον Κοριεύ ς. Κυτώνιον πόλις μεταξὺ Μυσίας καὶ Λυδίας. τὸ ἐθνικὸν ὅμοιον τῷ ἡγουμένῳ. Λιθήσιος ὁ Ἀπόλλων ἐν τῷ Μαλέα λίθῳ προσιδρυμένος ἐκεῖ. Ῥιανὸς Ἠλιακῶν τρίτῳ. ὡς γὰρ ἀπὸ τοῦ Μάραθος Μαραθήσιος, οὕτω καὶ τοῦτο. Λυρνησσός πόλις Τρωϊκή. τὸ ἐθνικὸν Λυρνήσσιο ς. Αἰσχύλος δὲ Πέρσαις (324) ὡς ἀπὸ τοῦ Λύρνα ἢ Λύρνη Λυρναῖο ς. Μεσσαπία χώρα Ἰαπυγίας. τὸ ἐθνικὸν Μεσσάπιο ς. Παυσανίας δεκάτῳ (7, 8). Μίλκωρος Χαλκιδικὴ πόλις ἐν Θρᾴκῃ. ὁ πολίτης Μιλκώριο ς. Θεόπομπος κε′ Φιλιππικῶν. Μυκάλη πόλις Καρίας. τὸ ἐθνικὸν Μυκαλήσιος ὡς Ἰθακήσιος. Τρύφων δὲ Μυκαλεύς φησιν ἐν παρωνύμοις. Νίνος πόλις Ἀσσυρίων. οἱ πολῖται Νίνιο ι. Στράβων ἑκκαιδεκάτῃ (p. 737). Νοστία κώμη Ἀρκαδίας. Θεόπομπος. Ἔφορος τὸ ἐθνικὸν Νεστάνιος ἔφη, ὥστε κατ’ αὐτὸν Νεστανίαν λέγεσθαι. ἡ αὐτὴ γὰρ τῇ προτέρᾳ, ὡς δῆλον ἐξ ἄλλων.

3,2 881 Νῶλα πόλις Αὐσόνων. τὸ ἐθνικὸν Νώλιο ς. Πολύβιος δὲ Νωλανοὺς αὐτούς φησιν. Ξάνθος πόλις Λυκίας καὶ ἐν Λέσβῳ. ὁ πολίτης Ξάνθιος ὡς Εὐριπίδης. Ὀγχηστός ἄλσος. ὁ πολίτης Ὀγχήστιο ς. Παυσανίας ἐνάτῳ (28, 6). Οἰκοῦς Καρίας πόλις. τὸ ἐθνικὸν Οἰκούσιος «Οἰκούσιον ἄστυ» (Nicaenet. ap. Parthen. Erot. 11). Παρπάρων χωρίον ἐν Ἀσίᾳ Αἰολικόν. ὁ πολίτης Παρπαρώνιος ἀπὸ τῆς Παρπάρωνος γενικῆς. Ἀνδροτίων δ’ ἐν τρίτῳ Ἀτθίδος Παρπαριώτας φησίν. ἔστι δὲ ὡς ἀπὸ Παρπαρία ὡς Θεσσαλία Θεσσαλιώτης, Ἑσπερία Ἑσπεριώτης. Σκίρφαι πόλις Φωκική. τὸ ἐθνικὸν Σκίρφιος καὶ Σκιρφαῖος, ὡς Διευχίδας φησί. Ταίναρος πόλις. Ταινάριο ς. εἰσὶ δὲ καὶ Ταινάριοι θῆβαι, ὡς Χάραξ ἐν Ἑλληνικῶν δευτέρῳ. Τένεδος νῆσος τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Σποράδων ἐν Ἑλλησπόντῳ. Τενέδιο ς. Ἀπολλόδωρος δὲ ἐν νεῶν καταλόγῳ φησὶν ὅτι τοὺς μὲν τῆς Παμφυλίας Τενεδεῖς, τοὺς δὲ τῆς νήσου Τενεδίους. Τευθρανία Μυσίας πόλις. τὸ ἐθνικὸν Τευθράνιος ὡς τῆς Παρρασίας Παρράσιος. λέγεται καὶ Τευθράντιος Εὐριπίδης Λικυμνίῳ «Τευθράντιον δὲ σχῆμα Μυσίας χθονός» ἀπὸ τῆς Τεύθραντος γενικῆς. Τέως πόλις Ἰωνίας. τὸ ἐθνικὸν Τήϊο ς. ἔστι γὰρ πρῶτον Τέϊος καὶ Τεῖος καὶ Ἰωνικῶς Τήϊος. Τολοφών πόλις Λοκρῶν τῶν Ὀζολῶν. τὸ ἐθνικὸν Τολοφώνιο ς. Θουκυδίδης τρίτῃ (c. 101). Τόπαζος νῆσος Ἰνδική. τὸ ἐθνικὸν Τοπάζιο ς. Ἀλέξανδρος ὁ πολυΐστωρ φησὶν ὡς εὑρίσκεσθαι καὶ ἐν τῇ τῶν Τοπαζίων νήσῳ λίθον ὁμώνυμον τῇ νήσῳ καὶ ὅμοιον εἶναι τῇ χροιᾷ τῇ τοῦ νέου ἐλαίου. διὰ τοῦ ξ δ' ἐγράφετο πρότερον. Τρικόρυνθον. ὁ δημότης Τρικορύσιος καὶ Τρικορυσία. Ἀριστοφάνης ἐν Λυσιστράτῃ (1032) «οὐχ ὁρᾷς; οὐκ ἐμπίς ἐστιν ἥδε Τρικορυσία;». Τυλησσός ὄρος Ἰταλίας. τὸ τοπικὸν Τυλήσσιο ς. Λυκόφρων (993) «ἄλλοι δὲ πρῶνας δυσβάτους Τυλησσίων». Τύμνος πόλις Καρίας. ὁ πολίτης Τύμνιο ς. Ἀλέξανδρος ἐν τῷ περὶ Καρίας δευτέρῳ. Τυφρηστός πόλις τῆς Τραχῖνος. τὸ ἐθνικὸν Τυφρήστιο ς. καὶ τὸ οὐδέτερον Παρθένιος «Τυφρήστιον αἶπος». Ὑπερδέξιον χωρίον Λέσβου, ἐν ᾧ Ζεὺς Ὑπερδέξιος καὶ Ὑπερδεξία Ἀθηνᾶ. ὡς οὖν ἀπὸ τοῦ Βυζαντίου Βυζάντιος, οὕτω παρὰ τὸ Ὑπερδέξιον Ὑπερδέξιος τὸ ἐθνικόν. Νικόλαος δὲ πληθυντικῶς Ὑπερδεξίους φησί.

3,2 882 Φαλάσαρνα πόλις Κρήτης. ὁ πολίτης Φαλασάρνιος, ὡς Ξενίων φησίν. Φλιοῦς πόλις Πελοποννήσου. τὸ ἐθνικὸν Φλιούντιος ἢ Φλιούσιος, πλεονασμῷ δὲ τοῦ α Φλιάσιο ς. Φυλάκη πόλις Θεσσαλίας. τὸ ἐθνικὸν δύναται μὲν διὰ περιφράσεως ἐκ Φυλάκης, εἴρηται δ' ὅμως Φυλακήσιος ὡς Ἰθακήσιος. Χαδισία πόλις Λευκοσύρων. οἱ πολῖται Χαδίσιοι καὶ Χαδισία τὸ θηλυκόν. Ἀπολλώνιος β' (1002) «νόσφι δ' ἀκοντο—». Χαλία πόλις Βοιωτίας. τὸ ἐθνικὸν Χάλιος ὡς Θεόπομπος «ὕστερον δὲ οἱ Χαλκιδεῖς πολεμήσαντες Αἰολεῦσι τοῖς τὴν ἤπειρον ἔχουσι, Χαλίοις καὶ Βοιωτοῖς καὶ Ὀρχομενίοις καὶ Θηβαίοις». Χαλκηδών πόλις Βιθυνίας. ὁ πολίτης Χαλκηδόνιο ς. Στράβων (VII p. 320) «Χαλκηδόνιοι ἐπὶ τῆς περαίας ἱδρυμένοι πλησίον οὐ μετέχουσι τῆς εὐπορίας ταύτης». Χαονία μέση τῆς Ἠπείρου. οἱ οἰκήτορες Χάονε ς. λέγεται καὶ Χαόνιο ς. Εὐφορίων χιλιάσι «Ζηνὸς Χαονίοιο προμάντιες ηὐδάξαντο». καὶ Χαονίη τὸ θηλυκόν. Ἀλέξανδρος ὁ Ἐφέσιος ἐν Ἀσίᾳ καὶ Λιβύῃ «οἱ δὲ κάτω Πελασγίδα Χαονίην». καὶ Χαονῖται, Λυκόφρων (1046) «τοῦ Χαονίτου νᾶμα Πολυανθέος δρέπων» ὡς ἀπὸ τοῦ Χάονος, ὡς Αὔσονος Αὐσονίτης ὁ αὐτός (593) «τὸν Αὐσονίτην Πύραμον δομήσεται». λέγεται καὶ Χαονεύ ς. Χερρόνησος. ὁ πολίτης Χερρονήσιο ς. Ἑκαταῖος «Ἀψινθίοισι πρὸς μεσημβρίην ὁμουρέουσι Χερσονήσιοι». Ἡρόδοτος δὲ (IX 118) « Χερσονησῖται ἀπὸ τῶν πύργων ἐσημήναντο τοῖσι Ἀθηναίοισι τὸ γεγονός». ὧν τὸ θηλυκὸν Εὐριπίδης (Hec. 8) «ὃς τὴν ἀρίστην Χερσονησίαν πλάκα». Χίος. τὸ ἐθνικὸν Χῖο ς. Θουκυδίδης ὀγδόῃ (c. 5) «Χῖοι δὲ καὶ Ἐρυθραῖοι ἀποστῆναι καὶ αὐτοὶ ἕτοιμοι ὄντες» καὶ Ἡρόδοτος πρώτῃ (c. 142) «Χῖοι μὲν καὶ Ἐρυθραῖοι κατὰ τὠυτὸ διαλέγονται». Χορασμίη πόλις Πάρθων. αὐτοὶ δὲ Χοράσμιοι, ὡς Ἑκαταῖός φησι «Πάρθων πρὸς ἥλιον ἀνίσχοντα Χοράσμιοι οἰκέουσι». καὶ Ἡρόδοτος τρίτῃ (c. 93) «Πάρθοι δὲ καὶ Χοράσμιοι καὶ Σόγδοι». καὶ πάλιν «τοῦτο τὸ πεδίον ἦν ποτε Χορασμίων». Χύτροι Κύπρου πόλις. ὁ πολίτης Χύτριο ς. Ἀλέξανδρος ἐν τῷ περὶ Κύπρου «τὴν δὲ Γορδίαν ἀποδοῦναι Χυτρίοις». καὶ πάλιν «Εὐρυνόην τῶν Χυτρίων βασιλεὺς ἔγημεν». ἀναλογεῖ δὲ τὸ ἐθνικὸν πρὸς τὸ Χύτρος ἑνικόν, ὡς Κύπριος πρὸς τὸ Κύπρος. Ψιττάκη πόλις παρὰ τῷ Τίγριδι. ὁ πολίτης Ψιττάκιος ὡς ἀπὸ τοῦ ψιττακίας καρποῦ. τὸ κυριώτερον δὲ ἐθνικὸν Ψιττακηνός διὰ τὸ ἐπιχώριον. Ψωφίς πόλις Ἀρκαδίας. ὁ πολίτης ὤφειλεν εἶναι Ψωφίτης τῷ

3,2 883 τύπῳ τῶν εἰς ις ληγόντων. ἀλλὰ γέγονεν ἀπὸ τῆς γενικῆς ὡς τῆς Ἀρκάδος Ἀρκάδιος καὶ τῆς Αὐλίδος Αὐλίδιος, οὕτω Ψωφῖδος Ψωφίδιο ς. Ἑκαταῖος γενεαλογιῶν δευτέρῳ «κάπρος ἦν ἐν τῷ ὄρεϊ καὶ Ψωφιδίους κακὰ πολλὰ ἔοργεν». Ὤλερος Κρητικὴ πόλις. ὁ πολίτης Ὠλέριος καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὠλερία Ἀθηνᾶ, τὸ οὐδέτερον Ὠλέριον. φησὶ γὰρ Ξενίων ἐν Κρητικοῖς «τῇ δὲ θεῷ ταύτῃ ἑορτὴν ἄγουσιν Ἱεραπύτνιοι, τὴν δ' ἑορτὴν Ὠλέρια προσαγορεύουσιν». Ὠρύχιον τόπος τῆς Ἀττικῆς. τὸ τοπικὸν Ὠρύχιο ς. Εὐφορίων Διονύσῳ «ἴχνος ἂν Ὠρυχίοισιν ἐν ἕρκεσιν ὀκλάσσαιντο». Περὶ τῶν εἰς ειος . Αἰόλειον τῆς Θρᾴκης χερρονήσου πόλις. τὸ ἐθνικὸν Αἰόλειος ὡς Ῥοίτειος καὶ Αἰολήϊο ς. δύναται δὲ τοῦτο καὶ ἀπὸ τοῦ Αἰολεύς εἶναι, ὅθεν καὶ τὸ Αἰόλειον, ὥστε γενικὸν εἶναι τοῦ ἔθνους καὶ ἰδικὸν τῆς πόλεως, ὡς ὁ ἠπειρώτης καὶ ὁ πόντιος τῶν γενικῶν καὶ τῶν ἰδικῶν. Ἀντιόχεια. τὸ ἐθνικὸν Ἀντιοχεύς καὶ Ἀντιόχειο ς. Ἄργος. τὸ ἐθνικὸν Ἀργεῖο ς. λέγεται καὶ Ἀργόλα ς. καὶ Ἀργείωνες λέγονται ὡς Καδμείωνες καὶ Ἀργειώνη ὡς Ἀντίμαχος, καὶ Ἀργειώτης παρὰ τὸ Ἀργεῖος καὶ Ἀργειῶτις τὸ θηλυκόν. Ἀρεία κρήνη ἐν Θήβαις καὶ τόπος ὃν οἱ κατοικοῦντες Ἄρειοι καλοῦνται. καί ἐστιν ἀπὸ δύο ἓν ἐθνικόν, ὡς τοῦ Μόψου ἑστία Μοψεάτης καὶ τῆς μητρὸς τῶν θεῶν τὸ μητρῷον. Ἄρεος νῆσος. τὸ ἐθνικὸν Ἄρειος ἐξ ἑνὸς τῶν δυοῖν παρηγμένον. Ἕρμος δῆμος. ὁ δημότης Ἕρμειο ς. Ἠετιώνεια ἡ ἑτέρα τοῦ Πειραιέως ἄκρα. τὸ ἐθνικὸν Ἠετιώνειο ς. Ἦλις. ὁ πολίτης ἀπὸ τῆς Ἤλιδος γενικῆς ἀναλόγως Ἠλίδειος ὡς Ἀδωνίδειος καὶ Εὐπολίδειος κτητικῷ τύπῳ καὶ καθ' ὕφεσιν τοῦ δ Ἠλίειος καὶ Ἠλεῖο ς. ἀφ' οὗ «Ἀλεῖος ὁ Ζεύς» (Callim. fr. 99). Τρύφων δέ φησιν ὅτι Ἠλίεος καὶ Ἠλέϊος καὶ Ἠλεῖος. Ὅμηρος δ' Ἐπειοὺς αὐτούς φησι. Ἧτις δῆμος Λακωνικῆς καὶ τῆς Κρήτης πόλις, ὅθεν ἦν Μύσων εἷς τῶν ἑπτὰ σοφῶν, οὗ μέμνηται Πλάτων ἐν τῷ Πρωταγόρᾳ (p. 343a) Χηνέα τοῦτον εἰπών. Δίδυμος δὲ συμποσιακῶν δεκάτῳ Ἠτεῖον αὐτὸν καλεῖ. Λυκόζεια πόλις Θρᾴκης. τὸ ἐθνικὸν Λυκόζειοι, ὡς Πείσανδρος τεσσαρεσκαιδεκάτῃ. Μηδία. τὸ ἐθνικὸν Μῆδος ὁμοφώνως τῷ πρωτοτύπῳ. καὶ Μήδειοι λέγονται. Μοψοπία ἡ Ἀττική. ὁ πολίτης Μοψόπειος διὰ διφθόγγου καὶ διὰ τοῦ ι . Ἡρακλείδης δ' ὁ Ποντικὸς ἐν α' Λέσχῃ Μοψοπίτης φησί, καὶ ἔδει Μοψοπιώτης. ἴσως δὲ καθ' ὕφεσιν τοῦ ω . Νεμέα χώρα τῆς Ἀργολίδος. τὸ ἐθνικὸν Νέμεος καὶ Νεμεαῖο ς.
3,2 884 Στράβων ὀγδόῃ (p. 377) καὶ Νεμέα λέγεται καὶ Νεμεήτης ὁ Ζεύς καὶ Νεμεῆται. οἱ πολῖται τῆς Λοκρίδος πόλεως Νέμειο ι. Ὄγκειον χωρίον Ἀρκαδίας. ὁ οἰκήτωρ Ὄγκειο ς. Σίγειον πόλις Τρῳάδος. ὁ πολίτης Σιγειεύ ς. ἔστι καὶ ἄλλο ἐθνικὸν Σίγειο ς. Περὶ τῶν εἰς υος . Δίρφυς ὄρος Εὐβοίας. τὸ ἐθνικὸν Δίρφυος καὶ Διρφύα ἡ Ἥρα τιμᾶται. Περὶ τῶν εἰς ωος . Ἄθως ὄρος. τὸ τοπικὸν Ἄθωος χωρὶς τοῦ ι καὶ Ἀθώους τοὺς ἐνοικοῦντας, τὸ δὲ δηλοῦν τὸ ἀζήμιον προπερισπᾶται καὶ διὰ τοῦ ι ἐκ τῆς θωῆς. ἔστι καὶ Ἄθως πόλις ἐπὶ τῷ Ἄθῳ. ὁ πολίτης Ἀθωΐτη ς. Γέλα πόλις Σικελίας. τὸ ἐθνικὸν Γελῷος, οὐ Γελαῖος, ὡς Ἅβρων καὶ ἡ συνήθεια. καὶ ἴσως ἀπὸ τοῦ γέλως τὸ Γελῶς. Ἐλβώ νῆσος. τὸ ἐθνικὸν Ἐλβῷος ὡς Σαρδῷος. Ἡρώ πόλις Αἰγυπτία. ὁ πολίτης Ἡρῷος ὡς Κῷο ς. Κῶς. τῆς Κῶ μονοσυλλάβου Κῷος καὶ Κώϊος ὡς Μινῷος. Λῶς νῆσος περὶ Θεσσαλίαν. Λῷος ὁ νησιώτης. Πυθώ ἡ τοῦ Ἀπόλλωνος πόλις. τὸ ἐθνικὸν Πυθῷος ὡς Λητώ Λητῷος καὶ Πύθιο ς. καὶ παρὰ τὴν Πυθώ Πυθεύς ὡς Ἐνυώ Ἐνυεύς. καὶ Πυθαιεύς καὶ Πυθαεύς ὡς Κρηταεύς. Περὶ τῶν εἰς ανος . Ἄγκυρα. τὸ ἐθνικὸν Ἀγκυρανό ς. τὰ εἰς νος ἐθνικά, ἐὰν ἀπὸ τῆς γενικῆς τοῦ πρωτοτύπου γένοιτο καθαρευούσης, τῷ α παραλήγει μακρῷ καὶ μιᾷ συλλαβῇ τῆς γενικῆς περιττεύει, οὐκ ἀναστρέφοντος τοῦ λόγου. οὐ γὰρ ὅσα τὸ α κατὰ τὴν παραλήγουσαν ἔχει, ταῦτα ἐκ θηλυκῶν παρῆκται. τοῦ μὲν προτέρου παραδείγματα ταῦτα, Ἀσιανός, Καρδιανός, Ὀλβιανός, Φασιανός ἀπὸ τῆς Φάσιος πόλεως, Τράλλιος Τραλλιανός, Σάρδιος Σαρδιανός, τοῦ δὲ δευτέρου Πάριον Παρίου Παριανός, Βοσπορίου Βοσποριανός (ἀπὸ τῶν ἐθνικῶν ἐθνικά, ὡς τοῦ Ῥοδίου τὸ Ῥοδιακός κτητικὸν καὶ Σαμίου τὸ Σαμιακός), Κίου πόλεως Μυσίας Κιανός, Τίου Τιανός, Καρίου Καριανός, Σηλυμβρίου Σηλυμβριανός. ἡμάρτηται τὸ Βοτρυηνός, ἐπεὶ ἀπὸ τοῦ Βότρυος γέγονεν. ἐντεῦθεν δὲ ὁ τύπος μιᾷ περιττεύει, σπανίως δὲ δυσίν, ὡς τὸ Ταυριανός καὶ Σκορπιανός καὶ Ζυγιανός, ἅπερ ἀπὸ τῶν Σκόρπων καὶ Ταύρων καὶ Ζυγῶν παράγεσθαι δοκοῦσι, δυνάμενα καὶ αὐτὰ ἀπὸ τῶν προτέρων παράγεσθαι τοπικῶν, Ζυγίων, Σκορπίων, Ταυρίων. πρόσκειται «οὐκ ἀντιστρέφοντος τοῦ λόγου» διὰ τὸ Ἱσπανός,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Καρμανός, Καμπανός, Γερμανός, Βρεττανός, Ὠρητανός, Ἀφρικανός, Ἀλβανός, Ὑρκανός. οὐδὲν γὰρ τούτων ἀπὸ γενικῆς καθαρευούσης.

3,2 885 Ἄμαστρις πόλις Παφλαγονίας. τὸ ἐθνικὸν Ἀμαστριανό ς. Στράβων δωδεκάτῃ (p. 545) «πλείστη δὲ καὶ ἀρίστη φύεται πύξος κατὰ τὴν Ἀμαστριανὴν καὶ μάλιστα περὶ τὸ Κύτωρον». ὡς Κάλλατις Καλλάτιος Καλλατιανός καὶ Φᾶσις πόλις Φασιανός καὶ Σάρδις Σαρδιανός. τὰ γὰρ τοιαῦτα ἢ ἀπὸ τῶν εἰς ος εὐθειῶν ὡς Βάκτριος Βακτριανός ἢ ἀπὸ τῶν εἰς ος γενικῶν. Ἀργύριππα πόλις τῆς Δαυνίας. τὸ ἐθνικὸν Ἀργυριππανό ς. Στράβων Ἀργυριππηνός φησιν. Ἄτελλα πόλις Ὀπικῶν Ἰταλίας. τὸ ἐθνικὸν οὐκ Ἀτελλαῖος ὡς Ἀγυλλαῖος, ἀλλὰ Ἀτελλανός, ὡς Πολύβιος ἐνάτῃ «Ἀτελλανοὶ παρέδοσαν αὑτούς». Ἀτρία πόλις Τυρρηνίας. τὸ ἐθνικὸν Ἀτριανός καὶ Ἀτριεύς καὶ Ἀτριάτη ς. ἄμεινον δὲ τὸ πρῶτον. συνήθης γὰρ Ἰταλῶν ὁ τύπος ὁ διὰ τοῦ ανος . Αὔγουσται πόλεις ἐν Κιλικίᾳ καὶ Ἰταλίᾳ. οἱ πολῖται Αὐγουστιανο ί. Φλέγων ἐν Ὀλυμπιάδων η′. Βέλιτρα πόλις Ἰταλίας. τὸ ἐθνικὸν Βελιτρανός τῷ ἔθει τῆς χώρας. Βρεττία νῆσος ἐν τῷ Ἀδρίᾳ. τὸ ἐθνικὸν ἔδει Βρεττιανός ὡς Πολύβιος τὸ θηλυκὸν «ἐπὶ Βρεττιανὴν τόπων». νῦν δὲ Βρέττιοι λέγονται. Ἐχέτρα πόλις Ἰταλίας. ὁ πολίτης Ἐχετρανός. Διονύσιος δεκάτῳ τῆς Ῥωμαϊκῆς ἀρχαιολογίας. Καλησία πόλις Αὐσονική. τὸ ἐθνικὸν Καλησιανός ὡς Διονύσιος. Κάλλατις πολίχνιον ἐν τῇ παραλίᾳ τοῦ Πόντου. ὁ πολίτης Καλλατιανός ὡς Τραλλιανός Σαρδιανός. ἔοικε δ᾽ εἶναι ἀπὸ τοῦ Καλλατία ὡς Ὀλβιανός, εἰ μὴ ἀπὸ τῆς Ἰωνικῆς γενικῆς γέγονε τῆς Καλλάτιος. Κορίολλα πόλις Ἰταλίας. τὸ ἐθνικὸν Κοριολλανός κατὰ πρόσθεσιν τῆς νος ὡς Μύρλεια Μυρλεανός καθ᾽ ὕφεσιν τοῦ ι . Μάντυα πόλις Ῥωμαίων. τὸ ἐθνικὸν Μαντυανό ς. Πολύβιος ἑκκαιδεκάτῳ. Μασσία χώρα παρακειμένη τοῖς Ταρτησσίοις. τὸ ἐθνικὸν Μασσιανό ς. Θεόπομπος τεσσαρακοστῷ τρίτῳ. Μαστία πόλις. Μαστιανός ἔθνος πρὸς ταῖς Ἡρακλείαις στήλαις. Ἑκαταῖος Εὐρώπῃ. Μύρλεια πόλις Βιθυνίας. ὁ πολίτης Μυρλεανό ς. Στράβων δὲ (XII p. 551) Μυρλεᾶτιν καλεῖ τὴν χώραν, ἴσως ἀπὸ τοῦ Μυρλεάτη ς. Νωμεντός πόλις οὐ πόρρω Ῥώμης. τὸ ἐθνικὸν Νωμεντανό ς. Διονύσιος ἐν δευτέρῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. Ὀκρίκολα πόλις Τυρρηνῶν. τὸ ἐθνικὸν Ὀκρικολανός, ὡς Διονύσιος. Σατρία πόλις Ἰταλίας. τὸ ἐθνικὸν Σατριανός, ὡς Διονύσιος. Σκίδρος πόλις Ἰταλίας. τὸ ἐθνικὸν Σκιδρανός, ὡς Λύκος ἐν τῷ περὶ Ἀλεξάνδρου.

3,2 886 Ταῦρος ὄρος. τὸ ἐθνικὸν Ταυριανός πλεονασμῷ τοῦ ι ὡς Ζυγιανός. Τίνδιον πόλις Λιβύης. τὸ ἐθνικὸν Τινδανό ς. ἐχρῆν δὲ Τινδιεύς ὡς Σουνιεύς. ἀλλὰ μᾶλλον ἀπὸ τοῦ Τίνδα Τινδανός. τοῦ δὲ Τίνδα τὸ Τίνδιον. Φερέντιον πόλις Σαυνιτῶν. τὸ ἐθνικὸν Φερεντανό ς. λέγεται καὶ Φερέντιοι, ὡς Διονύσιος ιζ′ τῆς Ῥωμαϊκῆς ἀρχαιολογίας. Φοῦνδα πόλις Ἰταλίας. οἱ πολῖται Φουνδανο ί, Διονύσιος πεντεκαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. Φουρνίτα πόλις Λιβύης. οἱ οἰκήτορες Φουρνιτανο ί. Φλέγων ιε′ τῶν Ὀλυμπιάδων. Φρέγελλα πόλις Ἰταλίας. τὸ ἐθνικὸν Φρεγελλανός ὡς Διονύσιος ις′ τῆς Ῥωμαϊκῆς ἀρχαιολογίας καὶ ἄλλοι πλεῖστοι. Φρεντανόν πόλις Ἰταλίας. τὸ ἐθνικὸν Φρεντανοί. Στράβων πέμπτῃ (p. 241). Ὠρισία πόλις Ἰβηρίας. τὸ ἐθνικὸν Ὠριτανό ς. Ἀρτεμίδωρος ἐν δευτέρῳ γεωγραφουμένων «ἀμφότεροι γὰρ κατοικοῦσι τὴν παραλίαν καί τινα τῆς μεσογείου, πρῶτον μὲν Ὠριτανοί, πόλεις δ᾽ ἐν αὐτοῖς εἰσι μεγάλαι Ὀρσία καὶ Καστάλων». Ὠστία πόλις Ἰταλίας. τὸ ἐθνικὸν δύναται καὶ Ὠστιανός καὶ Ὠστιάτη ς. συνήθης γὰρ ὁ τύπος τοῖς Ἰταλοῖς. Φλέγων δ᾽ Ὠστίους αὐτοὺς καλεῖ λέγων «παρέλαβε δὲ τὴν Ὠστίων πόλιν». Περὶ τῶν εἰς ηνος . Ἀβασηνοί ἔθνος Ἀραβίας. ὁ τύπος ὀξὺς καὶ ἐπιχώριος τοῖς Ἄραψιν ὡς Μηδαβηνοί, Ὀβοδηνοί, Ἀδριηνοί, ἀλλὰ καὶ τοῖς Ἀσιανοῖς ἅπασιν, ὡς Ἀπολλώνιος ὁ τεχνικὸς ἐν τῷ περὶ παρωνύμων φησί «δι᾽ ἔθους εἰσὶ ταῦτα τοῖς ἐπὶ τῆς Ἀσίας κατοικοῦσιν, ἀλλότρια δὲ τῶν Εὐρωπαίων. οὐ γὰρ ἀπὸ πόλεως ἢ δήμου κατὰ τοῦτον ὠνόμασται τὸν τύπον». Ἀβρεττηνή χώρα Μυσίας. τὸ ἐθνικὸν Ἀβρεττηνός, ὡς Ἀρριανός φησιν. Ἄβυδος. Τένεδος Τενέδιος καὶ Τενεδεύς καὶ Λέβεδος Λεβέδιος. τοῦ δὲ Ἄβυδος Ἀβυδηνό ς. ἴσως διὰ τὸ πλησιόχωρον, Κυζικηνός καὶ τὰ ὅμοια. Ἀγβάτανα. Ἀγβατανηνό ς. τοῖς Πέρσαις γὰρ συνήθης ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τύπος. λέγουσι γὰρ Καμβυσηνούς, Παραιτακηνούς, Σωφηνούς· καθ’ Ἕλληνας δὲ Ἀγβατανεύ ς. Ἀμισός πόλις ἐν Πόντῳ. τὸ ἐθνικὸν Ἀμισηνό ς. λέγεται καὶ Ἀμίσιος, ὡς Φίλων ἐν τῷ περὶ πόλεων. Ἀρτάκη πόλις Φρυγίας. τὸ ἐθνικὸν Ἀρτακηνό ς. Σοφοκλῆς δὲ ἀπὸ τοῦ Ἀρτακεύς εἶπε «τί μέλλετ’ Ἀρτακῆς τε καὶ Περκώσιοι;» καὶ Ἀρ-

3,2 887 τάκιος εἶπε Δημοσθένης ἐν ἐνάτῳ Βιθυνιακῶν «νάσσατο δ’ Ἀρτακίοισιν ἐφέστιος αἰγιαλοῖσιν». Ἀρτεμίτα νῆσος Τυρρηνική. τὸ ἐθνικὸν Ἀρτεμιτηνό ς. Ἀπολλόδωρος δ’ Ἀρταμιτηνός φησι διὰ τοῦ α . ἔστι καὶ πλησίον τῶν Ὀξειῶν νήσων νῆσος Ἀρτεμίτα. τὸ ἐθνικὸν τὸ αὐτό, ἢ Ἀρτεμιταῖος διὰ τὸ τὸν τύπον τοῖς Πέρσαις ἀναλογεῖν. Ἀστακός πόλις Βιθυνίας. τὸ ἐθνικὸν Ἀστακηνός ὡς Ῥυνδακηνός Πριαπηνός καὶ Ἀστάκιος καὶ Ἀστακία, ἀφ’ οὗ Ἀστακιεύς ὡς Οἰχαλία Οἰχαλιεύς καὶ Ἀστακιήτη ς. Βάργασα πόλις Καρίας. τὸ ἐθνικὸν Βαργασηνός, ὡς Ἀπολλώνιος Καρικῶν ἑκκαιδεκάτῳ, ὡς Ἔδεσσα Ἐδεσσηνός, Γερασηνός, Ἐμεσηνός. Βόρσιππα πόλις Χαλδαίων. οἱ πολῖται Βορσιππηνο ί. Ἀρριανὸς δὲ Βορσιππεῖς αὐτούς φησιν. Βότρυς πόλις Φοινίκης. ὁ πολίτης Βοτρυηνός, ὡς Παυσανίας, παραλόγως. ἀπὸ γὰρ γενικῆς καθαρευούσης τὸ η ἔχει πρὸ τέλους, ὀφεῖλον τὸ α ὡς Ὀλβιανός Καρδιανός. Γάβα πόλις Γαλιλαίας. τὸ ἐθνικὸν Γαβαηνός ὡς Ἰώσηπος (A. I. V 11). Γάββα πόλις Συρίας. τὸ ἐθνικὸν Γαββηνός, ὡς Παυσανίας φησί. Γάγγρα πόλις Παφλαγονίας. τὸ ἐθνικὸν Γαγγρηνός ὡς Βοστρηνός. ἔστι καὶ Ἀραβίας τῆς εὐδαίμονος Γάγγρα. τὸ ἐθνικὸν δεῖ Γαγγραῖοι ὡς Σαβαῖοι. δυνατὸν δὲ καὶ ἀμφοτέρων ἀμφότερα, ὡς Ἔδεσσα Ἐδεσσαῖος καὶ Ἐδεσσηνός, τῷ τῆς χώρας καὶ τῆς τέχνης. Δῖον πόλις Εὐβοίας. τὸ ἐθνικὸν Διηνός, ὡς δηλοῖ τὸ ἐπίγραμμα νᾶμα τὸ Διηνὸν γλυκερὸν ποτόν, ἠνιδὲ πίῃς, παύσει μὲν δίψης, εὐθὺ δὲ καὶ βιότου. Δούμαθα πόλις Ἀραβίας. ὁ πολίτης Δουμαθηνός, ὡς Γλαῦκος ἐν β′ Ἀραβικῆς ἀρχαιολογίας. Ἔδεσσα πόλις Συρίας. τὸ ἐθνικὸν κατὰ μὲν τοὺς ἐγχωρίους Ἐδεσσηνός, παρὰ δὲ πλείοσιν Ἐδεσσαῖο ς. Ζεβέκη πόλις τῆς Γαλιλαίας. τὸ ἐθνικὸν Ζεβεκηνός, ὡς Ἰώσηπος (A. I. V 2). Ζόαρα φρούριον ἐν Παλαιστίνῃ. οἱ πολῖται τοῦ χωρίου Ζοαρηνοί διὰ τὸν ἐγχώριον τύπον καὶ Ζοαρᾶτα ι. οἱ γὰρ δύο τύποι Ἀράβιοι. Κορομάνη πόλις Περσική. τὸ ἐθνικὸν Κορομανηνός διὰ τὸν τύπον τῶν Περσῶν. Παραιτακηνοί γὰρ τῆς Παραιτάκης. Κύζικος. τὸ ἐθνικὸν Κυζικηνό ς. ἡ ποίησις δὲ τοὺς κατοικοῦντας Κύζικον Δολίονάς φησιν ὡς τοὺς τὴν Ἴσμαρον Κίκονας. κέχρηνται δὲ καὶ τῷ Κυζικηνός ἁπλῷ ἀντὶ κτητικοῦ, ὡς τὸ Τυρσηνοὶ δεσμοὶ ἀντὶ τοῦ Τυρρηνικοί, οἱ χαλεποί, διὰ τὸ ληστρικοὺς εἶναι τοὺς Τυρρηνούς. Νίσιβις πόλις ἐν τῇ Περαίᾳ τῇ πρὸς τῷ Τίγρητι ποταμῷ. τὸ ἐθνικὸν Νισιβηνό ς. ἔδει Νισιβίτης, ἀλλ’ ὁ τύπος Αἰγύπτιος καὶ Λίβυς,

3,2 888 ὁ δὲ διὰ τοῦ ηνος παρὰ τὸν Εὐφράτην καὶ τὴν ἕω, ὡς Σωφηνός Ταβηνός Καμβυσηνός. Χαράκμωβα πόλις Παλαιστίνης. Χαρακμωβηνός, Γλαῦκος ἐν Ἀραβικῆς ἀρχαιολογίας τετάρτῳ «ἡσύχαζον δ’ ἐν τούτοις Χαρακμωβηνοί». Χαττηνία χώρα τρίτη Γερραίων. οἱ πολῖται Χαττηνοί ὡς Πολύβιος «τούτοις μὲν γὰρ παρήγγειλε φείδεσθαι τῆς τῶν Χαττηνῶν χώρας». Περὶ τῶν εἰς ινος . Ἀβάκαινον, πόλις Σικελίας. τὸ ἐθνικὸν Ἀβακαινῖνος ὡς Ἀκραγαντῖνος, ὃ οὐκ ἄηθες Σικελῶν, Μεταποντῖνος, Λεοντῖνος, Βρεντεσῖνος, Τερεντῖνος, Ἀρρητῖνος, Ἀσσωρῖνος, Ἐρυκῖνος. Ἀγάθη πόλις Λιγύων ἢ Κελτῶν. τὸ ἐθνικὸν Ἀγαθῖνος ὡς Ἀκραγαντῖνος. Ἅβρων γὰρ ἐν τῷ περὶ παρωνύμων τοῖς τοιούτοις καὶ αὐτὸ συνέμιξεν. εἰ δὲ καὶ κύριον εἴη τὸ Ἀγαθῖνος, οὐκ ἀπεικὸς σημαίνειν ἀμφότερα. Σχοινεύς γὰρ καὶ κύριον καὶ ποταμοῦ καὶ ἐθνικόν, καὶ Λίξος, ὁμοίως Θεσσαλός καὶ Σικανός καὶ Σικελός καὶ μυρία. εἰ δὲ μὴ ὡς ἐθνικὸν τὸ Ἀγαθῖνος ἐκλήθη, τὸν οἰκήτορα λέξομεν Ἀγαθαῖον τῷ κοινῷ λόγῳ, ἢ Ἀγαθεύς ὡς Θεσσαλονικεύς καὶ Σινταρεύς καὶ Βερενικεύς, ἐπεὶ καὶ Ἀγάθεια τῆς Ἀγάθης εὑρίσκεται παραγωγή, ὡς Βερενίκεια καὶ Θεσσαλονίκεια. Ἄδρυξ ὡς Ἔρυξ. τὸ ἐθνικὸν Ἀδρυκῖνος ὡς Ἐρυκῖνος τῆς Ἔρυκος γενικῆς, καὶ Ἀδρυκίνη ὡς Ἐρυκίνη Ἀφροδίτη. Ἀκράγας. τὸ ἐθνικὸν Ἀκραγαντῖνος ὡς Ἰναχῖνος Ταραντῖνος, ὥς φησιν Ἡρωδιανό ς. Ἀμοργός νῆσος μία τῶν Κυκλάδων. Ἀμοργῖνος ὡς Ἐρυκῖνος. λέγεται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ Ἀμόργιος, ὥς φησι Χάραξ. Νικόλαος δ’ Ἀμοργίτην αὐτὸν καλεῖ. τὸ δ’ ἀμόργινος χιτὼν χρώματος ἴδιον. Ἄμπελος πόλις Ἰταλίας. ὁ πολίτης Ἀμπελῖνος ὡς Ἀσσωρῖνος Ἀβακαινῖνος. τῶν δὲ λοιπῶν (sc. πόλεων) δυνατὸν Ἀμπελῖται εἶναι. Ἀπέννιον ὄρος. τὸ ἐθνικὸν Ἀπεννῖνος ὡς Ῥηγῖνος, ὃ παρὰ Πεισάνδρῳ κεῖται ιγ′. Ἐρβησσός πόλις Σικελίας. τὸ ἐθνικὸν Ἐρβησσῖνο ς. Φίλιστος Σικελικῶν β′. Ἴνυκον πόλις Σικελίας. Ἰνυκῖνος οἶνος. ἴδιος γὰρ ὁ τύπος τῶν Σικελῶν. Κανύσιον πόλις Ἰταλίας. τὸ ἐθνικὸν Κανυσῖνος ἢ Κανυσίτη ς. Καύδιον πόλις Ἰταλίας. τὸ ἐθνικὸν Καυδῖνος, ὡς Διονύσιός φησι. Κυρτώνιος πόλις Ἰταλίας. τὸ ἐθνικὸν τῷ τῆς χώρας ἔθει Κυρτωνῖνος ὡς Σατορνῖνος. Μυτισέρατος φρούριον Σικελίας. τὸ ἐθνικὸν Μυτισερατῖνος ὡς Φίλιστος. Νέπετος πόλις Ἰταλίας. τὸ ἐθνικὸν Νεπεσῖνο ς. ἡ τροπὴ δὲ τοῦ τ εἰς ς ἰδιάζουσα καὶ σεσημείωται.

3,2 889 Πολλεντός ἢ Πολλέντιον. τὸ ἐθνικὸν Πολλεντῖνο ς. τὰ γὰρ τούτων ἐθνικὰ τύπον ἕνα διὰ τοῦ ινος ἔχουσιν ὡς Ῥηγῖνος Σωρεντῖνος. Τερβητία πόλις Σικελίας. οἱ πολῖται Τερβητῖνοι ὡς Πλακεντῖνοι ἀπὸ Πλακεντίας. Φλέγων ἐν Ὀλυμπιάδων ιε′. Τίβυρις πόλις Ἰταλίας. λέγεται καὶ Τίβυρα. τὸ ἐθνικὸν Τιβυρτῖνο ς. Νικάνωρ δ’ ὁ Ἑρμείου Τίβουρα ταύτην καλεῖ καὶ τὸ ἐθνικὸν Τιβουρῖνον, ὃ καὶ ἀναλογώτερον· «ἐν ᾗ Τιβουρῖνον τέμενος». Περὶ τῶν εἰς υνος . Μαριανδυνία. Μαριάνδυνος βαρυτόνως κατὰ τοὺς Αἰολεῖς. Περὶ τῶν εἰς ευς . Ἀβρότονον. τὸ ἐθνικὸν οὐκ ἔστιν ἐν χρήσει, ἡ τέχνη δ’ ἐπινοεῖ ἐξ ὁμοιότητος. ὡς γὰρ Ἄθμονον Ἀθμονεύς καὶ Γάργαρον Γαργαρεύς καὶ Σούνιον Σουνιεύς καὶ Σιγειεύς καὶ Ἰλιεύς καὶ Λευκωνιεύς καὶ Παντικαπαιεύς καὶ Δουλιχιεύς, οὕτως Ἀβροτονεύ ς. ὁ δὲ τῶν οὐδετέρων τύπος ἔσθ’ ὅτε τὸ ἐθνικὸν διὰ τοῦ ηνος ἔχει, ὡς Πέργαμον Περγαμηνός, εἰ μὴ ἀπὸ θηλυκοῦ τοῦ Πέργαμος ὡς Κύζικος Κυζικηνός. δυνατὸν δὲ καὶ ἐξ Ἀβροτόνου φάναι τὸ ἐθνικόν. πολλὰ γὰρ τοιαῦτα, μάλιστα ἐν τοῖς δήμοις τῶν Ἀθηναίων, ὡς ἐξ Οἴου δημότης καὶ ἐκ Κηδῶν. Ἀγάθη νῆσος Λυκίας. τὸ ἐθνικὸν ὤφειλεν Ἀγαθεύ ς. ἡ γὰρ χώρα τῷ εἰς ευς τύπῳ χαίρει, ὡς Παταρεύς, Τλωεύς, Τελμισεύς, Κρυεύς. Ἀγάμμεια, λέγεται δὲ καὶ Ἀγάμμη. τὸ ἐθνικὸν Ἀγαμμεύς ὡς τῆς Μαντινείας Μαντινεύς. λέγεται καὶ Μαντίνη κατὰ συναλοιφὴν παρ’ Ἑκαταίῳ. καὶ Ἀγαμμείτης ὡς Ζελείτης. εἴρηται γὰρ ἡ Ζέλεια καὶ Ζέλη. ὥστε εἶναι τοῦ Ἀγάμμεια Ἀγαμμειάτης ὡς τὸ Ζελειάτης. Ἀγορησός πόλις Καρίας. τὸ ἐθνικὸν Ἀγορησεύς ὡς Τελμισεύς, Τυμνησός Τυμνησεύς. δύναται καὶ Ἀγορήσιος ὡς Λυρνήσιος. ἀγυιά. ὁ τοπίτης ἀγυιεύ ς. λέγονται καὶ ὀβελίσκοι θεοῖς ἀνειμένοι, ὡς Εὔπολις. λέγεται δὲ κίων ἀγυιεύς εἰς ὀξὺ ἀπολήγων ὁ πρὸ τῶν θυρῶν ἱστάμενος, Ἀριστοφάνης Θεσμοφοριαζούσαις (v. 489). καὶ ὁ Ἀπόλλων ἀγυιεύς καὶ ἀγυιάτη ς. καὶ θηλυκὸν ἀγυιᾶτις, ὡς καὶ τὰ προπύλαια τοῦ ἀγυιέως ἀγυιάτιδες θεραπεῖαι λέγονται. τὸ τοπικὸν ἀγυιαῖο ς. Σοφοκλῆς Ἑρμιόνῃ «ἀλλ’ ὦ πατρῴας γῆς ἀγυιαίου πέδον». ἔστιν οὖν τὸ μὲν ἀγυιεύς ἀπὸ τοῦ ἀγυιά, ὡς Τρύφων φησὶν ἐν παρωνύμοις «πᾶν εἰς α θηλυκὸν ἰσοσύλλαβον ἔχει τῇ εὐθείᾳ καὶ τῇ γενικῇ τὸ παρώνυμον, Μοψοπία Μοψοπιεύς, Ἐρετριεύς Φωκαιεύς Θεσπιεύς». τὸ δὲ ἀγυιάτης ὡς Κορώνεια Κορωνειάτης, Καρυάτης, Καυλωνειάτης. τὸ δὲ ἀγυιαῖος ὡς ἀρουραῖος. Ἄδανα Κίλισσα πόλις, οὐδετέρως. ὁ πολίτης Ἀδανεύς ὡς Γάργαρα Γαργαρεύς, Τύανα Τυανεύς. ἔστι καὶ ἑτέρα πόλις Ἀραβίας. ὁ ταύτης πολίτης οὐ δύναται Ἀδανεύς εἶναι. οὐ γὰρ ὁ τύπος Ἀράβων,

3,2 890 ἀλλὰ τῶν διὰ τοῦ α οὐδετέρων ὁ διὰ τοῦ ηνος , Ζόαρα Ζοαρηνός, Μήδαβα Μηδαβηνός, Τάρφαρα Ταρφαρηνός, Αὔαρα Αὐαρηνός. οὕτως καὶ Ἀδανηνό ς . ἢ Ἀδανίτης ὡς Ἄϊλανα Ἀϊλανίτης. Ἀδράστεια μεταξὺ Πριάπου καὶ τοῦ Παρίου. τὸ ἐθνικὸν Ἀδραστεύ ς. οἱ δὲ ἐπιχώριοι Ἀδραστηνός ὡς Κυζικηνός φασι. Ἄδροττα οὐδετέρως χωρίον ἐν Λυδίᾳ. οἱ οἰκήτορες Ἀδροττεῖ ς. τῶν γὰρ εἰς α οὐδετέρων τὰ πολλὰ παρά τε τοῖς Λυδοῖς καὶ τὴν Καρίαν οἰκοῦσι χαίρει τῇ εἰς ευς ἐπὶ τῶν ἐθνικῶν. δύναται καὶ Ἀδροττηνός, καὶ γὰρ ὁ τύπος τῶν Ἀσιανῶν. καὶ οὕτως οἱ ἐπιχώριοι λέγουσιν. Ἄθυμβρα πόλις Καρίας. τὸ ἐθνικὸν Ἀθυμβρεύς τῷ λόγῳ τῶν Καρικῶν. Αἰγείρουσα πόλις τῆς Μεγαρίδος. λέγεται καὶ Αἴγειρος. τὸ ἐθνικὸν Αἰγειρεύς ὡς τῆς Φιλίππου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φιλιππεύς, Ταρσοῦ Ταρσεύς. τῆς δὲ Αἰγειρούσης Αἰγειρουσαῖος ὡς Σκοτουσαῖος ἢ Αἰγειρούσιος ὡς Πιτυούσιος. Αἴγιον πόλις Ἀχαΐας. ὁ πολίτης Αἰγιεύς, ὡς ὁ χρησμός «ὑμεῖς δ' Αἰγιέες οὔτε τρίτοι οὔτε τέταρτοι». Αἰγόσθενα πόλις Μεγαρίδος, οὐδετέρως. τὸ ἐθνικὸν ὤφειλεν Αἰγοσθενεύς ὡς Μεγαρεύς. Πολύβιος δὲ Αἰγοσθενίτην φησὶν ὡς Γάβαλα Γαβαλίτης. Αἴθαια πόλις Λακωνικῆς. τὸ ἐθνικὸν Αἰθαιεύς, Θουκυδίδης πρώτῃ (c. 101). Αἰλία. παρὰ μίαν συλλαβὴν εὑρίσκεται τὰ τοιαῦτα, τῆς Ἀντιοχείας τὸ Ἀντιοχεύ ς. ἀλλ' οὐδ' ἀπὸ τούτων γίνεται τὰ εἰς ευς ἀρσενικά, ἀλλὰ ἀπὸ τῶν εἰς ος . ἀπὸ γὰρ τοῦ Ἀντίοχος Ἀντιοχεύς καὶ τοῦ Σέλευκος Σελευκεύς, ὡς Ἅβρων ἐν τῷ περὶ παρωνύμων. εἰ γὰρ παρὰ τὴν Ἀλεξάνδρειαν ἦν, Ἀλεξανδρειεύς ἂν ἦν. ἀμφοῖν δ' ὁ Ἀλέξανδρος ἀρχή. Αἴνεια τόπος Θρᾴκης ἀπὸ Αἰνείου. τὸ ἐθνικὸν Αἰνειεύ ς. ὃ καὶ παράσημόν ἐστιν, ὅτι μὴ ἐνδεῖ μιᾷ συλλαβῇ τοῦ πρωτοτύπου. ἔστι καὶ Αἰνεάτης ὡς Κόρσεια Κορσεάτης, Ὕδρεια Ὑδρεάτης, Ὀρνειαί Ὀρνεάτης, Κεγχρεαί Κεγχρεάτης, τοῦ ι σιγηθέντος. ἔστι καὶ πόλις Τυρρηνίας, ἧς οἱ οἰκήτορες Αἰνεῖο ι. Αἰραί πόλις Ἰωνίας. τὸ ἐθνικὸν Αἰρεύ ς. ἔστι καὶ Μακεδονίας. τὸ ἐθνικὸν Αἰραῖο ς. ἔστι καὶ παρ' Ἑλλησπόντῳ, ἧς τὸ ἐθνικὸν Αἰράτης παρ' Ἀνδροτίωνι ἐν ἕκτῃ Ἀτθίδος. Ἁλαί Ἀραφηνίδες καὶ Ἁλαὶ Αἰξωνίδες δῆμοι. ἑκατέρου ὁ δημότης ἄνευ τοῦ ι Ἁλαεύ ς. Τρύφων δ' ἐν παρωνύμοις Ἁλαῖος τρισυλλάβως καὶ Ἁλαιαῖος τετρασυλλάβως. ἀπὸ δὲ τοῦ Ἁλαῖος λέγεται Ἁλαιεύς ὡς Ληναῖος Ληναιεύς, Κρηταῖος Κρηταιεύς. ἀλλ' ἐν τοῖς ἑξῆς κατ' ἔθος Ἀττικὸν ἐνδεῖν φησι τοῦ ι . Ἀλεξάνδρεια. τὸ ἐθνικὸν Ἀλεξανδρεύς ἐκ τῆς Ἀλεξάνδρου γενικῆς.

3,2 891 τὸ θηλυκὸν ὡς ἀπὸ τοῦ Σινωπεύς Σινωπίς οὕτως ἀπὸ τοῦ Ἀλεξανδρεύς Ἀλεξανδρίς. Δίδυμος δὲ παρατίθεται χρῆσιν ἐξ Ἐρατοσθένους τοῦ Ἀλεξανδρίτη ς. Φαβωρῖνος δὲ ἐν τῷ περὶ Κυρηναϊκῆς πόλεως Ἀλεξανδρειώτην φησὶ παρὰ τὴν .... Ἀλεξανδρειανός ὡς Μύρλεια Μυρλειανός, Ἡράκλεια Ἡρακλειανός. λέγεται καὶ Ἀλεξάνδρειος κτητικόν. Νικάνωρ δὲ ὁ Ἑρμείου ἐν τῇ περὶ Ἀλεξανδρείας πρώτῃ ταῦτα πάντα κυροῖ, καὶ τὸ Ἀλεξανδρῖνος καὶ τὸ Ἀλεξανδρίνης, οὐ μέντοι τὸ Ἀλεξανδρεώτης. Ἁλικαρνασσός. ὁ πολίτης Ἁλικαρνασσεύς ὡς Ἀψυρτεύς, Ἀνδροτίων δ' ἐν τρίτῃ Ἀτθίδος Ἁλικαρνάσσιός φησι. Ἄλος πόλις Ἀχαΐας, τὸ ἐθνικὸν Ἀλεύς, Σοφοκλῆς δὲ Ἀλούσιος, τινὲς δὲ τῶν γλωσσογράφων Ἀλίου ς. Ἀμαξιτός πολίχνιον τῆς Τρωάδος. τὸ ἐθνικὸν Ἀμαξιτεύ ς. Ἀπολλόδωρος δὲ ἐν χρονικῶν τρίτῃ Ἀμαξιτηνούς φησιν. Ἀμβρακία πόλις Θεσπρωτίας. τὸ ἐθνικὸν Ἀμβρακιεύς καὶ Ἀμβρακιώτη ς. Φίλιστος δὲ Ἀμβρακῖνός φησι Σικελικῷ τύπῳ. εὕρηται καὶ διὰ τοῦ π ἀντὶ τοῦ β , ὅθεν καὶ τὸ Ἀμπρακιώτης. τὰ γὰρ εἰς ια θηλυκὰ καὶ εἰς ιον οὐδέτερα διὰ τοῦ ωτης ποιεῖ τὰ ἐθνικά, Σικελιώτης, Πηλιώτης. λέγεται καὶ Ἀμβράκιος καὶ Ἀμβρακία γυνή. Ἄμυρος πόλις Θεσσαλίας. τὸ ἐθνικὸν Ἀμυρεύς ὡς Κάμειρος Καμειρεύς. Εὔπολις δὲ Ἀμυρίους αὐτοὺς λέγει. ἐκ τούτου καὶ Ἀμυραῖοι λέγονται. Ἄμφεια πόλις Μεσσήνης. τὸ ἐθνικὸν Ἀμφεύ ς. καὶ ὁ τύπος γὰρ Ἀρκάς, ὡς τὸ Ἡραιεύς. Ἀμφιτροπή δῆμος. ὁ δημότης Ἀμφιτροπαιεύ ς. δοκεῖ δὲ τὸ Ἀμφιτροπαιεύς ἐξ ἄλλου εἶναι, τοῦ Ἀμφιτροπαῖος. τὰ γὰρ εἰς ευς ἀπὸ τῶν εἰς η θηλυκῶν ἰσοσυλλαβεῖ τοῖς πρωτοτύποις, Σινώπη Σινωπεύς. Ἀνδανία πόλις Μεσσήνης. τὸ ἐθνικὸν Ἀνδανιεύς ὡς Φίλων ἐν τῇ περὶ πόλεων. λέγεται δὲ καὶ Ἀνδάνιος, ὡς Ῥιανός. Ἀξία πόλις Λοκρῶν τῶν Ὀζολῶν καὶ Ἰταλίας. τὸ ἐθνικὸν τῆς Λοκρίδος Ἀξιεύς, τῆς δ' Ἰταλικῆς Ἀξιάτης διὰ τὸν δυτικὸν χαρακτῆρα. Ἀπολλωνία. τὸ ἐθνικὸν Ἀπολλωνιάτη ς. Τρύφων ἐν τῷ περὶ παρωνύμων τὸ ἐθνικὸν εἶπεν Ἀπολλωνιεύ ς. ἀλλ' οὐκ ἔστιν ἐκ τῆς πόλεως, ἀλλ' ἐκ τοῦ Ἀπολλώνιον ὡς Δουλίχιον Δουλιχιεύς. Ἄρειον πεδίον ἐν Ῥώμῃ. τὸ ἐθνικὸν ἔδει Ἀρειοπεδιεύς, ἀλλ' οὐχ ἁρμόζει Ῥωμαίοις ὁ τύπος. ἔσται οὖν τοῦ πεδίον πεδῖνος ἢ πεδιανός καὶ Ἀρειοπεδῖνος ἢ Ἀρειοπεδιανό ς. Ἀρκεσίνη μία τῶν τριῶν πόλεων τῶν ἐν Ἀμοργῷ τῇ νήσῳ. τὸ ἐθνικὸν Ἀρκεσινεύ ς. Ἀνδροτίων ἕκτῃ Ἀτθίδος «Ἀμοργίοις Μινωίταις καὶ Ἀρκεσινεῦσιν».

3,2 892 Ἅρμα πόλις Βοιωτίας. τὸ ἐθνικὸν Ἁρματεύ ς. ἔστι καὶ Ἅρματα πόλις πληθυντικῶς Ἰνδικῆς. ἐθνικὸν τὸ αὐτὸ ἢ διὰ τὸ τῆς χώρας ἔθος Ἁρματηνός ἢ Ἁρματίτη ς. Ἄρωμα πόλις Αἰθιόπων. ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολίτης Ἀρωμεύ ς. ἔστι καὶ Ἀρόματα κατοικία Λυδίας. Στράβων (XIV p. 650) «ἄριστος Μεσσωγίτης οἶνος ὁ Ἀροματεύ ς». Βοίβη πόλις Θεσσαλίας. τὸ ἐθνικὸν Βοιβεύ ς. εἰ δὲ καὶ Βοιβαῖος, οὐ κωλύει. Βολογεσσιάς πόλις πρὸς τῷ Εὐφράτῃ. τὸ ἐθνικὸν ὤφειλε Βολογεσσιεύς ὡς Ἀφροδισιεύς, ἀλλ' ἀνοίκειος ὁ τύπος τῇ χώρᾳ. λεκτέον οὖν Βολογεσσινό ς. Βολογεσίφορα πόλις Περσική. τὸ ἐθνικὸν τύπῳ Περσῶν Βολογεσιφορηνό ς. λεκτέον δὲ Βολογεσιφορεύ ς. Βοὸς Κεφαλαί. οἱ κατοικοῦντες Βουκεφαλεῖς, ἐπειδὴ ὁ δημότης Κεφαλεύς τοῦ Κεφαλή. Βουπράσιον πόλις Ἤλιδος. τὸ ἐθνικὸν Βουπρασιεύς καὶ Βουπράσιος ἀπὸ Βουπρασίου τοῦ ἄρξαντος αὐτῶν καὶ Βουπρασίωνες ὡς Καδμείωνες. Βωμοί λόφοι Αἰτωλίας. οἱ κατοικοῦντες Βωμιῆ ς. Θουκυδίδης τρίτῃ (c. 96) «Βωμιῆς καὶ Καλλιῆς ἐπεβοήθησαν». ἀλλ' ἔστιν ἀπὸ τοῦ Βώμιος ὡς ἀπὸ τοῦ Χήσιος Χησιεύς. Γάδειρα καὶ ἡ Γάδειρος. ὁ πολίτης Γαδειρεύ ς. λέγεται καὶ Γαδειρίτης, ὡς Ἀλέξανδρος ὁ πολυΐστωρ. λέγεται καὶ Γαδειραῖος ὡς ἀπὸ τῆς ἡ Γάδειρα εὐθείας καὶ Γαδειρανο ί. Γάμαλα κατοικία Συρίας. ὁ οἰκήτωρ Γαμαλεύ ς. Ἰώσηπος ἐν τετάρτῳ τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας. Γάμβρειον πόλις Ἰωνίας. τὸ ἔθνικὸν Γαμβρειεύς ὡς Σιγειεύς. γράφεται δὲ διὰ διφθόγγου, ὡς δηλοῖ τὸ Γαμβρήϊον. Γεράνεια πόλις Φρυγίας. τὸ ἐθνικὸν Γερανεύς ἢ Γερανειάτης τῷ τύπῳ τῆς χώρας. Γερηνία πόλις Μεσσηνίας. ἐκ τῆς εὐθείας τῆς ἡ Γέρηνος τὸ Γερηνεύς ὡς Ἅλος Ἀλεύς καὶ ἐξ αὐτοῦ Γερήνιο ς. Γλαυκία πολίχνιον Ἰωνίας. τὸ ἐθνικὸν Γλαυκιεύς καὶ Γλαυκιώτη ς. βέλτιον δὲ Γλαύκιος ὡς τῆς Πλακίας Πλάκιος. Γορδίειον πόλις Φρυγίας. τὸ ἐθνικὸν Γορδιεύς ὡς Κοτιάειον Κοτιαεύς, Δορυλάειον Δορυλαεύς. ἐχρῆν δ' ἰσοσύλλαβον. ἀλλὰ τὰ παρὰ τοῖς Φρυξὶ σημειώδη. Γρῦνοι πολίχνιον Μυριναίων. τὸ ἐθνικὸν Γρυνεύ ς. λέγεται καὶ «Γρύνειος Ἀπόλλων» ὡς Παρθένιος Δήλῳ, καὶ Γρυνήϊο ς. Δαρίειον πόλις τῆς Φρυγίας. τὸ ἐθνικὸν τῷ λόγῳ τῶν Φρυγίων παρὰ μίαν συλλαβὴν (sc. ἐνδεῖ τοῦ πρωτοτύπου) Δαριεύς ὡς Κοτιάειον Κοτιαεύς, ἢ τῷ λόγῳ τοῦ Ῥοίτειον καὶ Σίγειον Δαριειεύ ς.

3,2 893 Δέραια πόλις Ἀρκαδίας. τὸ ἐθνικὸν Δεραιεύς ὡς Ἡραιεύς ἢ Δεραιάτη ς. Ἀρκαδίας γὰρ ἀμφότερα. Διοβούλιον, πολίχνιον πλησίον τοῦ Πόντου. τὸ ἐθνικὸν Διοβουλιεύς, ὡς τὰ τῶν Φρυγίων πόλεων ἐθνικά. Δοκίμειον πόλις Φρυγίων. τὸ ἐθνικὸν Δοκιμεύς κατὰ τέχνην, κατὰ δὲ τὴν συνήθειαν Δοκιμηνό ς. Δουλίχιον μία τῶν Ἐχινάδων νήσων. ὁ πολίτης Δουλιχιεύς καὶ Δουλιχιώτης ἀπὸ τοῦ Δουλιχίη κατὰ τροπὴν καὶ Δουλιχιήτη ς. Δυσπόντιον πόλις Πισαίας. μέμνηται δ' αὐτῆς καὶ Τρύφων ἐν παρωνύμοις γράφων οὕτως τὸ ἐθνικὸν «οἱ δὲ Δυσποντεῖς οὐ παρὰ τὴν πόλιν Δυσπόντιον καλοῦνται (ἐλέγοντο γὰρ Δυσποντιεῖς), παρὰ δὲ τὸν Πέλοπος υἱὸν Δύσποντον». Δώτιον πόλις Θεσσαλίας. ὁ πολίτης Δωτιεῦ ς. Σοφοκλῆς Λαρισαίοις «καί μοι τρίτον ῥίπτοντι Δωτιεὺς ἀνὴρ ἀγχοῦ προσῆψεν Ἔλατος ἐν δισκήματι». καὶ ἐν Λημνίαις προτέραις «Φερητίδης τ' Ἄδμητος ἠδ' ὁ Δωτιεὺς Λαπίθης Κόρωνος». Ἐλευθεραί πόλις Βοιωτίας. ὁ πολίτης Ἐλευθερεύς ἢ Ἐλευθεραῖος, ὡς Ἡρακλείδης. Ἐρύθεια νῆσος. ὁ νησιώτης Ἐρυθεύς ὡς Μαντινεύς ἢ Ἐρυθείτης ἢ κατὰ περίφρασιν ὁ κατοικῶν τὴν Ἐρύθειαν. Ἑστίαια πόλις Εὐβοίας. τὸ ἐθνικὸν Ἑστιαιεύ ς. λέγεται καὶ τρισυλλάβως. ἔστι καὶ ἄλλη Ἀκαρνανίας. ὁ πολίτης Ἑστιαιεύς καὶ Ἑστιαιώτη ς. Εὔβοια. τὸ ἐθνικὸν Εὐβοιεύς καὶ Εὐβοεύς χωρὶς τοῦ ι , καίτοι τὰ ἀπὸ τῶν εἰς α παραγόμενα εἰς ευς φυλάττει τὴν παραλήγουσαν· διὸ καὶ τὸ Ἀλεξάνδρεια οὐ προϋπάρχει τοῦ Ἀλεξανδρεύς, ἔδει γὰρ Ἀλεξανδρειεύς, ἀλλ' ἀπὸ τοῦ Ἀλέξανδρος, ὡς Ταρσός Ταρσεύς. Εὐκάρπεια δῆμος τῆς μικρᾶς Φρυγίας. ἔστι καὶ Εὐκαρπία φρούριον Σικελίας. τὸ ἐθνικὸν Εὐκαρπεύ ς. δυνατὸν δὲ τὸ τῆς Σικελίας Εὐκαρπιανός καὶ Εὐκαρπιάτης καὶ Εὐκαρπίτη ς. Εὐπατρία πόλις Λυδῶν. οἱ πολῖται Εὐπατρίδαι, μᾶλλον δὲ Εὐπατρεῖ ς. Ξάνθος ἐν γ' Λυδιακῶν. Εὔρωμος πόλις Καρίας. τὸ ἐθνικὸν Εὐρωμεύ ς. Ἀπολλώνιος ἑπτακαιδεκάτῳ Καρικῶν. Ζοίτειον πόλις Ἀρκαδίας. τὸ ἐθνικὸν παρὰ τὸ Ζοίτειον Ζοιτειεύς, παρὰ δὲ τὴν Ζοίτειαν Ζοιτεύ ς. Ἠλακαταῖον ὄρος Θεσσαλίας. τὸ ἐθνικὸν Ἠλακαταιεὺς Ζεύς. καὶ Ἠλακατεύ ς. Θύμβραρα πόλις Ἀσίας. τὸ ἐθνικὸν Θυμβραρεύς ἔδει. Ξενοφῶν δὲ (Cyrop. VI 2, 11)

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Θυμβραραῖός φησι. Θύριον Ἀκαρνανίας. τὸ ἐθνικὸν Θυριεύς ὡς Σουνιεύς. Ἀνδροτίων δὲ Θύριός φησι.

3,2 894 Ἴλιον πόλις Τρῳάδος. τὸ ἐθνικὸν Ἰλιεύς «Ἰλιεὺς ὁ Ἀπόλλων ἐν Τροίᾳ». Ἰστίαια πόλις Εὐβοίας. ὁ πολίτης Ἰστιαιεύ ς. Ἔφορος δὲ τὸ ἐθνικὸν Ἑστιαῖός φησι. καὶ Ἱστιώτης ὁ τῆς Θεσσαλικῆς. Καλλίαι πόλις Ἀρκαδίας. ὁ πολίτης Καλλιεύς, ὡς Παυσανίας. Κάλυνδα πόλις Καρίας. τὸ ἐθνικὸν Καλυνδεύ ς. Ἡρόδοτος ὀγδόῃ (c. 87). Καρίς καὶ Καρίδες πόλις Φρυγίας. τὸ ἐθνικὸν Καριδεύς ὡς Ἀρκαδεύς, τὸ ἀπὸ τῆς τέχνης Καρίτης. Κρουσίς μοῖρα τῆς Μυγδονίας, τὸ τοπικὸν ἔδει Κρουσιδεύς ὡς Χαλκιδεύς. ἔστι δὲ Κρουσιεύ ς. Κρύα πόλις Λυκίας. Ἀρτεμίδωρος. τὸ ἐθνικὸν Κρυεύς «εἰσὶ δὲ καὶ ἄλλαι νῆσοι Κρυέων, Κάρυσις καὶ Ἄλινα». Κυδαθήναιον δῆμος. ὁ δημότης Κυδαθηναιεύ ς. καὶ «κύων Κυδαθηναιεύς» (Arist. Vesp. 890). Κυνέτεια πόλις Ἄργους. οἱ πολῖται Κυνετεῖς καὶ Κυνετειᾶτα ι. οἱ τύποι γὰρ οὐκ ἀήθεις τῶν Ἀργείων. Κυνόσσημα τόπος Λιβύης. τὸ ἐθνικὸν ἀπὸ γενικῆς Κυνοσσηματεύ ς. Λάρανδα πόλις Λυκαονίας. ὁ πολίτης Λαρανδεύ ς. Χάραξ τρίτῳ χρονικῶν. Ληψίμανδος πολίχνιον Καρίας. τὸ ἐθνικὸν Κρατερὸς ἐνάτῳ περὶ ψηφισμάτων Ληψιμανδεύ ς. Μελίβοια πόλις Θετταλίας. τὸ ἐθνικὸν Μελιβοεύς ὡς Θεόπομπος. Μεσσαπέαι χωρίον Λακωνικῆς. τὸ ἐθνικὸν Μεσσαπεεύ ς. οὕτω γὰρ ὁ Ζεὺς ἐκεῖ τιμᾶται. Θεόπομπος πεντηκοστῷ ἑβδόμῳ. Μύλασα πόλις Καρίας. τὸ ἐθνικὸν Μυλασεύς —ὡς Μένανδρος Καταψευδομένῳ. Νάρμαλις πόλις Πισιδίας. οἱ πολῖται Ναρμαλεῖς ὡς Καβαλεῖς, ὡς Ἔφορός φησι. Ναυπλία πόλις Ἄργους. οἱ οἰκοῦντες Ναυπλιεῖς ὡς Στράβων (VIII p. 373). Νεάνδρεια πόλις Τρῳάδος. ὁ πολίτης Νεανδρεύς ὡς Στράβων (XIII p. 606). Νῦσα. Νυσεύ ς. λέγεται καὶ Νυσαῖος καὶ ἐξ αὐτοῦ Νυσαιεύς τρισυλλάβως καὶ Νυσαεύς ἄνευ τοῦ ι . πόλις. ὁ οἰκήτωρ πολίτης καὶ πολιεύ ς. Πολιεύς γὰρ ὁ Ζεὺς τιμᾶται ἀπὸ τῆς πόλιος γενικῆς καὶ κατὰ τροπὴν τοῦ ος εἰς ευς .

3,2 895 Πύρινδος πόλις Καρίας. τὰ εἰς ος καὶ εἰς α εἰς ευς ἔχει τὸ ἐθνικόν. Σαμάρεια πόλις τῆς Ἰουδαίας. καὶ Ἐπαφρόδιτος μὲν τὸ ἐθνικὸν αὐτῆς Σαμαρεύς εἶπε καὶ τὴν πρώτην συλλαβὴν ἐμήκυνεν, ὁ δ’ Ἀντίοχος Σαμαρείτη ς. Σέστιον πόλις ἐν μεσογείᾳ Οἰνωτρῶν. τὸ ἐθνικὸν Σεστιεύς, ὡς τὰ εἰς ον οὐδέτερα. Σκόλις Ἀχαΐας πόλις. ὁ πολίτης Σκολιεύς ὡς Ῥιανὸς ἐν τετάρτῳ Ἀχαϊκῶν. Σύμαιθα πόλις Θετταλίας. ὁ πολίτης Συμαιθεύς, ὡς Θεόπομπος Φιλιππικῶν εἰκοστῷ δευτέρῳ. Σχοῖνος χώρα τῆς Θηβαϊκῆς, καὶ Σχοινεύς ποταμὸς ἀπὸ Σχοινέως τοῦ Ἀθάμαντος. Τρύφων ἐν τῷ περὶ παρωνύμων ὧδέ φησι «τὰ εἰς ευς λήγοντα παρώνυμα οὐδέποτε τῆς γενικῆς τοῦ πρωτοτύπου μιᾷ πλεονάζει. ὁ γοῦν Φωκαεύς οὐ παρὰ τὸν Φῶκον γέγονε, παρὰ μέντοι τὴν Φώκαιαν, καὶ ὁ παρὰ Καλλιμάχῳ Ἐλλοπιεύς παρὰ τὴν Ἐλλοπίαν, οὐ παρὰ τὸν Ἔλλοπα. ὁ δὲ παραρρέων τὸν Σχοῖνον ποταμὸς Σχοινεύς καλεῖται ἤτοι παρὰ τοὺς σχοίνους ἢ παρὰ τὸν Σχοινέα τὸν τῆς Ἀταλάντης πατέρα». ὁ πολίτης μέντοι Σχοινεύς (ὁ γὰρ ποταμὸς καὶ ὁ οἰκιστὴς Σχοινεύς) ὡς Ταρσοῦ Ταρσεύς. Τάμυνα πόλις Ἐρετρίας. τὸ ἐθνικὸν Ταμυνεύ ς. λέγεται καὶ Ταμυναῖο ς. οὕτω γὰρ ὁ Ζεὺς ἐν αὐτῇ τιμᾶται. Ταξίανα νῆσος τῆς Σουσιανῆς. τὸ ἐθνικὸν Ταξιανεύς ὡς Ἀδανεύς· .... ὀγδόῳ. τῷ τύπῳ τῆς χώρας Ταξιανηνό ς. Τελμισσός πόλις Καρίας. ὁ πολίτης Τελμισσεύ ς. καὶ δρᾶμα Ἀριστοφάνους Τελμισσεῖς. λέγεται καὶ τετρασυλλάβως Τελεμισσεῖς ὡς αὐτός «πῶς ἄν τις ἂν οὖν, ἢ τί ποιήσας ... ὦ Τελεμισσῆς;» καὶ πάλιν «φέρε δὴ τοίνυν, ταῦθ’ ὅταν ἔλθῃ, τί ποιεῖν χρή μ’, ὦ Τελεμισσῆς;». καὶ Τελμίσσιος ὡς Λυρνήσσιος. Τέρμερα πόλις Λυκίας. ὁ πολίτης Τερμερεύ ς. Ἡρόδοτος δὲ Τερμίλας αὐτοὺς καλεῖ ἐν τῷ πρώτῳ (c. 173). ὁ δὲ χρησμὸς ὁ περὶ αὐτῶν Τερμιλέας αὐτούς φησι. Τετράπολις τῆς Ἀττικῆς. οἱ οἰκήτορες Τετραπολεῖς καὶ Τετραπολῖται, ὡς Φαβωρῖνος ἐν πρώτῳ παντοδαπῆς ὕλης ἱστορικῆς. Τρεμίλη. ἡ Λυκία ἐκαλεῖτο οὕτως. οἱ κατοικοῦντες Τρεμιλεῖ ς. Ἀλέξανδρος «τελευτήσας τὰς δὲ τοὺς Τρεμιλέας Λυκίοις Βελλεροφόντης μετωνόμασεν». Ἑκαταῖος Τρεμίλας αὐτοὺς καλεῖ ἐν τετάρτῳ τῶν γενεαλογιῶν. Τρινακρία ἡ Σικελία. τὸ ἐθνικὸν Τρινακριεύ ς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Καλλίμαχος δ’ Αἰτίων α′ Τρινάκριον πόντον φησίν. Τρῳάς ἡ χώρα τοῦ Ἰλίου. τὸ ἐθνικὸν Τρῳαδεύ ς. «Ἡγησίαναξ

3,2 896 γραμματικός, γράψας περὶ τῆς Δημοκρίτου λέξεως βιβλίον ἓν καὶ περὶ ποιητικῶν λέξεων. ἦν δὲ Τρῳαδεύς». Τυμνησσός πόλις Καρίας. ὁ πολίτης Τυμνησσεύς, ὡς Ἀλέξανδρος ἐν πρώτῳ Λυκιακῶν. Ὑδισσός πόλις Καρίας. ὁ πολίτης Ὑδισσεύς, ὡς Ἀπολλώνιός φησιν. Ὑλλεῖς ἔθνος Ἰλλυρικὸν ἀπὸ Ὕλλου τοῦ Ἡρακλέους. ἔστι δ’ ὡς Φῶκος Φωκεύς, Αἴολος Αἰολεύς, οὕτως Ὕλλος Ὑλλεύς. ἔστιν Ὑλλίς φυλὴ Ἄργους καὶ Δωριέων καὶ Τροιζηνίων. ὁ φυλέτης Ὑλλεύς. Χάραξ θ′ «καὶ Παμφύλιοι καὶ Ὑλλεῖς». Ὑπερασία πόλις Ἀχαΐας, ἧς τὸ ἐθνικὸν Ὑπερασιεύ ς. Φλέγων κγ′ ὀλυμπιάδι καὶ Θεόπομπος. Φαναγόρεια πόλις. τὸ ἐθνικὸν ἐχρῆν Φαναγορεύς ὡς Ἀλεξανδρεύς τῷ πλείονι λόγῳ. ἐκράτησε δ’ ὅμως Φαναγορείτη ς. Φιλαδέλφεια πόλις Λυδίας. ὁ πολίτης Φιλαδελφεύ ς. τὸ δὲ Φιλαδελφηνός ἐπιχώριον. οὕτω γὰρ Ἰώσηπος κ′ τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας (c. 1). Φίλιπποι πόλις Μακεδονίας. ὁ πολίτης Φιλιππεύ ς , Φιλιππηνός δὲ παρὰ Πολυβίῳ. Φοιτίαι πόλις Ἀκαρνανίας. τὸ ἐθνικὸν Φοιτιεύς καὶ Φοίτιοι, ὡς Ἑλλάνικος ἐν τοῖς Τρωϊκοῖς. Φορίεια κώμη Ἀρκαδίας. τὸ ἐθνικὸν Φοριεύς, ὡς Ἔφορος ἐν τῇ ς′ τῶν ἱστοριῶν. Χαλκητόριον πόλις Κρήτης. ὁ πολίτης Χαλκητορεύ ς. Ἀπολλόδωρος τετάρτῳ χρονικῶν «μεθ’ οὗ Χαρίδημος ἦν φυγὰς Χαλκητορεύς». Κρατερὸς δ’ ἐν τῷ περὶ ψηφισμάτων Χαλκήτορας αὐτούς φησι. Χήν πόλις τῆς Λακωνικῆς. ὁ πολίτης Χηνιεύς, ἀλλὰ καὶ Χηνεύς, ὡς Πλάτων ἐν Πρωταγόρᾳ (p. 343)· «τούτων τῶν ἀνδρῶν ἦν Θαλῆς καὶ Πιττακὸς καὶ Βίας καὶ Κλεόβουλος καὶ Σόλων ὁ ἡμέτερος καὶ Μύσων ὁ Χηνεὺς καὶ ἕβδομος ἐξ αὐτῆς τῆς Λακεδαίμονος Χίλων». Χρυσαορίς πόλις Καρίας. τὸ ἐθνικὸν Χρυσαορεύς, ὡς Ἀπολλώνιος ἐν Καρικοῖς «Ταυροπολῖται μὲν συνεμάχουν καὶ Χρυσαορεῖς καὶ Πλαρασεῖς». Ὠρωπός πόλις Βοιωτίας. τὸ ἐθνικὸν Ὠρωπεύς ὡς Ἀπολλόδωρος ἐν νεῶν καταλόγου πρώτῃ «ἔστι δ’ ἡ Γραῖα τόπος, τῶν Ὠρωπέων πόλις». Στράβων δ’ ἐν τῇ ἐνάτῃ (p. 391) φησίν «ἀπὸ τῆς Ὠρωπίας ἐπὶ τὴν δύσιν» ὡς ἀπὸ τοῦ Ὠρώπιο ς· εἰ γὰρ ἦν ἀπὸ τοῦ Ὠρωπιεύς, Ὠρωπιάς ἂν εἶπε. Παυσανίας δὲ ἐν τῷ ἑβδόμῳ (c. 11, 4) φησὶν τὸ ἐθνικὸν οὕτως «καταφεύγουσιν ἐπὶ τὴν Ῥωμαίων βουλὴν οἱ Ὠρώπιοι».

3,2 897 καὶ Θουκυδίδης δευτέρᾳ (c. 23) «παριόντες Ὠρωπὸν τὴν γῆν Γραϊκὴν καλουμένην, ἣν νέμονται Ὠρώπιοι Ἀθηναίων ὑπήκοοι, ἐδῄωσαν». καὶ Θεόπομπος ἐν ς′ Ἑλληνικῶν «ἀνακοινοῦνται τῶν Ὠρωπίων Τηλέφῳ καὶ τοῖς μετ’ ἐκείνου βουλομένοις καὶ τὸν Ὠρωπὸν ὑπάρχειν αὐτοῖς». Περὶ τῶν εἰς ως . Ἕλος πόλις Λακωνική. οἱ πολῖται Εἵλωτε ς. τῇ ἐκτάσει καὶ τῷ γένει καὶ τῇ προσθέσει τοῦ ι διαφέρει. λέγονται καὶ Εἱλῶται καὶ Ἕλειοι καὶ Ἑλεῖτα ι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org